eul_wid: smk-ad

*Ἀνώνυμος μαγικὰ συγγράμματα* · Magical Treatises Anonymous

# Magical Papyri

*Μαγικὰ Πάπυροι*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 [ Πρᾶξι ς·] παρεδρικῶς προσ[γίνεται δαί]μων, ὃς τὰ πάντα μηνύσει σοι ῥητῶς κα[ὶ συνόμιλος καὶ συ]ναριστῶν ἔσται σοι καὶ συγκοιμώμενος. λαβὼν [οὖν ὁμοῦ] δύο σαυτοῦ ὄνυχας καὶ πάσας σου τὰς τρίχα[ς ἀπὸ κε]φαλῆς καὶ λαβὼν ἱέρακα κιρκαῖον ἀποθ[έ]ωσον εἰς [γάλα βο]ὸς μελαίνης συμίξας αὐτῷ μέλι Ἀττικὸν 〈καὶ ἀποθεώσας σ〉 ὕνδησον αὐτὸν ῥάκει ἀχρωτίστῳ, τίθει δ[ὲ πλησίον] αὐτοῦ τοὺς ὄνυχάς σου σὺν ταῖς θριξί, καὶ λαβὼν χα[ρτίον βασί]λειον ἐπίγραφε τὰ ὑποκείμενα ζμύρνῃ καὶ τίθει ὡσαύτως [σὺν ταῖς θ]ριξὶ καὶ τοῖς ὄνυξι καὶ ἀνάπλασον αὐτὸν λιβάνῳ [ἀτμήτῳ κα]ὶ οἴνῳ προπαλαίῳ. ἔστιν οὖν τὰ γραφόμενα ἐν τ[ῷ πιττ]ακίῳ· ʻα εε ηηη ιιιι οοοοο υυ υυυυ ωωωω[ωωω.ʻ γράφε δὲ ποι]ήσας δύο κλίματα· α ωωωω[ωωω] εε υυυ[υυυ] ηηη οοο[οο] ιιιι ιι[ι] οοοοο ηη[η] υυυυυυ εε ωωωωωωω α καὶ λαβὼν τὸ γάλα σὺν τῷ μέλιτι ἀπόπιε πρὶν ἀνατολῆς ἔνθεον ἐν τῇ σῇ καρδίᾳ. καὶ λαβὼν τὸν ἱέρακα ἀνάθου ἐν ναῷ ἀρκευθίνῳ, καὶ στεφανώσας αὐτὸν τὸν ναὸν ποίησον παράθεσιν ἐν ἀψύχοις φαγήμασιν καὶ οἶνον ἔχε προπάλαιον, καὶ πρὶν τοῦ σε ἀναπεσεῖν λέγε ἄντικρυς αὐτοῦ τοῦ πτηνοῦ ποιήσας αὐτῷ θυσίαν, ὡς ἔθος ἔχεις, καὶ λέγε τὸν προκείμενον λόγον· ʻα εε ηηη ιιιι οοοοο υυ[υυυ]υ ωωωωωωω ἧκέ μοι, ἀγαθὲ γεωργέ, Ἀγαθὸς Δ[αί]μων, Ἁρπον [κνοῦ]φι βριντατην σιφρι βρισκυλμα αρουαζαρ β[αμεσεν] κριφι νιπτουμιχμουμαωφ. ἧκέ μοι, ὁ ἅγιος Ὠρίω[ν, ὁ ἀνακ]είμενος ἐν τῷ βορείῳ, ἐπικυλινδούμενος [τὰ τοῦ Νε]ίλου ῥεύματα καὶ ἐπιμιγνύων τῇ θαλάττῃ καὶ ἀλλ[οιῶν ζω]ῇ καθώσπερ ἀνδρὸς ἐπὶ τῆς συνουσίας τὴν σπορὰν, ἐπ[ὶ .... βάσει] ἀρραίστῳ ἱδρύσας τὸν κόσμον, ὁ πρωίας νεαρὸς καὶ ὀ[ψὲ πρεσ]βύτης, ὁ τὸν ὑπὸ γῆν διοδεύων πόλον καὶ πυρίπνεος 〈ἀνατέλλ〉 ων, ὁ τὰ πελάγη διεὶς μηνὶ αʹ, ὁ γονὰς [ἱεὶς ἐ]πὶ τ[ὸ ἱερὸν ἐρ]ινεὸν τῆς Ἡλιουπόλεως διηνεκέως. [το]ῦ[το] αὐθεν[τικόν] σου ὄνομα· αρβαθ Ἀβαὼθ βακχαβρηʻ. πεμπόμε[νο]ς [δὲ] ἄβ[λαυτος ἴθι] ἀναποδίσας καὶ τίθει σεαυτὸν πρὸς χρῆσιν τῆς βρώσ[εως κα]ὶ τοῦ δείπνου καὶ τῆς προκειμένης παραθέσεως [πελάζων] τὸ στόμα πρὸς τὸ στόμα συνόμιλος τ[ῷ θεῷ]. εἰλικρ[ίνειαν δὲ ἔχει πᾶσαν] ἡ πρᾶξις [αὕτη]. κρύβε, κρύβ[ε] τὴν πρ[ᾶξιν καὶ ἄπε]χε σαυτὸν ἐν ἡμέρ[αις ζʹ] συνουσιάσαι γυναικί. [ Πνο ύ ]θεως ἱερογραμματέως πάρεδρος · .. ʻΠνούθιος Κήρυκι σε[βαζομένῳ τ]ὸν θεὸν χαίρειν. εἰδὼς προσέταξά σοι [τό]νδε [τὸν πάρεδρον] πρὸς τὸ μὴ διαπίπτειν ἐπιτελ[οῦν]τα [τή]νδε [τὴν πρᾶξ]ιν. παρελόμενος τὰ πάντα καταλει[πόμενα ἡμῖν ἐν] βίβλοις μυρίαις συντάγματα, [ἓ]ν πάν[των] ληα ........ 〈ὑπηρετ〉 οῦντά σοι τόνδε τὸν πάρεδρον ἐπέδει[ξ]α ασο[ ... πάρεδρον] ἅγιον τόνδε λαμβάνειν ὑμᾶς καὶ μόνον αι ........... τος, ὦ φίλε ἀερίων πνευμάτων χωρουμ[ένων] . [45]

.. με λόγοις θεολογουμένοις πείσαντες εσομ[ ......... νῦ]ν δὲ ἀπέπεμψα τήνδε τὴν βίβλον, ἵν’ ἐκμάθῃς. [ἔχει γὰρ δύναμι]ν Πνούθεως λόγος πείθειν θεοὺς καὶ πάσας τὰ[ς θεάς. συγγράψω] δέ σοι ἐντεῦθεν περὶ τῆς παρέδρου λ[ήψεως. ἔστι δὲ ἡ τοῦ παρ]έδρου παράδοσις· προαγνεύσας καὶ [ἀπεχόμενος ἐμψύ]χου καὶ πάσης ἀκαθαρσίας καὶ ἐν οἵᾳ βούλει [νυκτὶ ἀνα]βὰς ἐπὶ δώματος ὑψηλοῦ, ἐνδεδυμένος καθαρῶς [ ....... λέγ]ε τὴν πρώτην σύστασιν ἀπογιν(ομένης) τῆς ἡλίου ἑλείας ........ [ .... ἔ]χων τελαμῶνα [ὁλο]μέλανα Ἰσιακὸν ἐπὶ το[ῖς ὀφθαλμοῖ]ς καὶ τῇ μὲν δεξιᾷ χειρὶ κάτεχε ἱέρακος κεφα[λὴν καὶ .... ἀ]νατέλλοντος τοῦ ἡλίου χαιρέτιζε κατασείων τὴν κεφ[αλὴν καὶ ... δι]ώκων τόνδε τὸν ἱερὸν λόγον, ἐπιθύων λίβανον ἄ[τμητον] καὶ ῥόδινον ἐπισπένδων, ἐπιθύσασ[ ἐπὶ γηί]νου θυμιατηρίου ἐπ’ ἀνθράκων ἀπὸ ἡλιοτροπίου β[οτάνης. ἔ]σται δέ σοι διώκοντι τὸν λόγον σημεῖον τόδε· ἱέραξ κατ[απτὰς σοῦ] ἄντικρυς σταθήσεται καὶ πτερὰ τινάξας ἐν μέσ[ῳ, καθεὶς] εὐμήκη λίθον, εὐθὺς ἀναπτήσεται εἰς οὐρανὸν β[αίνων. σὺ] δὲ βάσταξον τοῦτον τὸν λίθον καὶ λιθουργήσας τάχος [γλῦφε ὕστ]ερον· γλυφέντα δὲ διατρυ[π]ήσας καὶ διείρας σπάρτῳ περὶ τ[ὸν τρά]χηλόν σου εἴρησον. ὀψίας δὲ ἀνελθὼν εἰς τὸ δωμάτιόν σ[ου πάλι]ν καὶ στὰς πρὸς αὐγὴν τῆς θεοῦ ἄντικρυς λέγε τὸν ὑμ[νικὸν λόγον] τόνδε ἐπιθύων πάλιν τρωγλῖτιν ζμύρναν τῷ αὐτῷ σχήμ[ατι. πῦρ] δὲ ἀνάψας ἔχε μυρσίνης κλάδον [ . ι ..... ]ον σείω[ν καὶ χαιρ]έτιζε τὴν θεόν. ἔσται δέ σοι σημεῖον ἐν τάχει τοιοῦ[το· ἀστὴρ αἴθω]ν κατελθὼν στήσεται εἰς μέσον τοῦ δώματος καὶ κατ’ ὄμ[μα κατα]χυ[θ]ὲν τὸ ἄστρον, ἀθρήσεις, ὃν ἐκάλεσας ἄγγελον πεμφθ[έντα σ]οί, θεῶν δὲ βουλὰς συντόμως γνώσῃ. σὺ δὲ μὴ δειλοῦ· [πρόσ]ιθι τῷ θεῷ, καὶ χεῖρα αὐτοῦ δεξιὰν λαβὼν κατ[φί]λησον, καὶ λέγε ταῦτα πρὸς τὸν ἄγγελον· λαλήσει γάρ σοι συν[τόμ]ως, πρὸς ὃ ἐὰν βούλῃ. σὺ δὲ αὐτὸν ἐξόρκιζε τῷδε [τῷ ὅρκ]ῳ, ὅπως ἀκίνητός σου τυγχάνων μείνῃ καὶ μὴ προσι[γήσῃ μη]δὲ παρακούσῃ ὅλως. ἐπὰν δέ σοι τοῦτον 〈τὸν〉 ὅρκον ἀ[ποδ]ῷ ἀσφαλῶς, χειροκρατήσας τὸν θεὸν καταπήδα, κ[αὶ εἰ]ς στενὸν τόπον ἐνεγκών, ὅπου κατοικεῖς, καθ[ίστη. π]ρῶτον δὲ τὸν οἶκον στρώσας, καθὼς πρέπει, καὶ ἑτοι[μάσας] παντοῖα φαγήματα οἶνόν τε Μενδήσιον, προανά[φερε εἰ]ς τὸν θεόν, ὑπηρετοῦντος παιδὸς ἀφθόρου καὶ σιγὴ[ν ἔ]χοντος, ἄχρις ἂν ἀπίῃ ὁ [ἄγγ]ελος. σὺ δὲ λόγο(υ)ς πρόπεμ[πε] τῷ θεῷ· ‘ἕξω φίλον σε πάρεδρον, εὐεργέτην θεὸν [ὑπ]ηρετοῦντά μοι, ὡς ἂν εἴπω, τάχος, τῇ σῇ δυνάμει ἤδη ἔ[γγ]αιος, ναὶ ναί, φαῖνέ μοι, θεέ‘. καὶ αὐτὸς σὺ λάλησον, ἀνακ[εί]μενος, πρὸς ἃ φράζει, συντόμως. πειρῶ δὲ θεοῦ τὸν ὁρκισμὸν αὐτόν, πρὸς 〈ὃ〉 θέλεις. ἐπὰν δὲ ὧραι γʹ γένωνται, καὶ εὐθὺς ἀναπηδήσει ὁ θεός. κέλευε δὲ τῷ [π]αιδὶ 〈κατὰ〉 τὰς θύρας τρέχειν. λέγε δέ· ‘χώρει, κύριε, θεὲ μάκαρ, ὅπου διηνεκῶς σὺ εἶ, ὡς βούλει‘, καὶ ἀφανής ἐστιν ὁ θεός. Αὕτη ἡ ἱερὰ λῆψις τοῦ παρέδρου. γινώσκεται, ὅτι οὗτός ἐστιν ὁ θεός· πνεῦμά ἐστιν ἀέριον, ὃ εἶδες. ἐὰν ἐπιτάξῃς, παραυτὰ τὸ ἔργον ἐπιτελεῖ· ὀνειροπομπεῖ, ἄγει γυναῖκας, ἄνδρας δίχα οὐσίας, ἀναιρεῖ, καταστ[ρ]έφει, ἀναρίπτει ἀνέμους ἐκ γῆς, βαστάζει χρυσόν, ἄργυρον, χαλκόν, καὶ δίδωσί σοι, ὅταν χρεία γένηται, λύει δὲ ἐκ δεσμῶν [ἀ]λύσεσι φρουρούμενον, θύρας ἀνοίγει, ἀμαυροῖ, ἵνα μηδεὶς [κ]αθόλου σε θεωρήσῃ, πυρφορεῖ, ὕδωρ φέρει, οἶνον, ἄρτον καὶ [ὃ] ἂν ἐθέλῃς ἐκ τῶν ἐδεσμάτων, ἔλαιον, ὄξος, χωρὶς ἰχθύων μ[ό]νων, λαχάνων δὲ πλῆθος, ὃ θέλεις, ἄξει, κρέας δὲ χοίρειον—[τ]οῦτο ὅλως μὴ λέξῃς ποτὲ ἐνεγκεῖν.

καὶ ὅτε βούλει δεῖ[πν]ον ποιῆσαι, λέγε· πᾶν χώρημα εὐπρεπὲς θεωρήσας [κέ]λευε τούτῳ στρῶσαι ταχέως καὶ συντόμως· εὐθὺς [περι]θήσει χρυσόροφα δώματα, τοίχους τούτοις μαρμαρωθέ[ν]τας ὄψῃ—καὶ ταῦτα ἡγεῖ τὰ μὲν ἀληθῆ, τὰ δὲ βλέπεσθαι μόνο[ν]—οἶνον δὲ πολυτελῆ, καθὼς πρέπει ἐξαρτίσαι τὸ δεῖπνον λ[αμ]πρῶς, συντόμως δαίμονας οἴσει καὶ τοὺς ὑπηρετοῦν[τ]άς σοι ζωστοὺς κοσμήσει. ταῦτα [σ]υντόμως ποιεῖ. κα[ὶ ὁπόταν αὐτὸν] κελεύσῃς διακον[ῆσαι], ποιήσει, καὶ ὄψῃ προ[τερή]σαντα ἄλλοις· ἵστησι πλοῖα καὶ πά[λιν] ἀπολύει, ἵστησι πονη[ρὰ δαιμόν]ια πλεῖστα, θῆρας δὲ παύει καὶ ὀδόντας ῥήξει ἑρπετ[ῶν ἀν]ημέρων συντόμως, κύνας δὲ κοιμίζει καὶ ἀφώνο[υς ἵσ]τησι, μεταμορφοῖ δὲ εἰς ἣν ἐὰν βούλῃ μορφὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θη[ρίου] πετηνοῦ, ἐνύδρου, τετραπόδου, ἑρπετοῦ. βαστάξει σ[ε εἰς] ἀέρα καὶ πάλιν ῥίψει σε εἰς κλύδωνα ποντίων ποταμ[ῶν καὶ] εἰς ῥ 〈ύ〉 ακας θαλασσίων, πήξει δὲ ποταμοὺς καὶ θάλασσα[ν συντ]όμως καὶ, ὅπως ἐνδιατρέχῃς σταδίως, ὡς βούλει. μά[λιστα] δὲ καθέξει σοῦ θελήσαντός ποτε τὸν ἀφρὸν ἁλί[δρομ]ον, καὶ ὅταν θέλῃς ἄστρα κατενεγκεῖν, ὁπόταν τε θέλῃς [τὰ θερ]μὰ ψυχρὰ ποιῆσαι καὶ τὰ ψυχρὰ θερμά, λύχνους ἀνά[ψει κ]αὶ κατασβέσει πάλιν, τείχη δὲ σείσει καὶ πυρίφλογα [ποιή]σει, δουλεύσει σοι ἱκανῶς εἰς [ἃ] ἂν ἐπινοήσῃς, ὦ μα[κάρι]ε μύστα τῆς ἱερᾶς μαγείας, καὶ ἐπιτελέσει σοι ὁ κράτιστος πάρεδρος οὗτος, ὁ καὶ μόνος κύριος τοῦ ἀέρος, καὶ συνφων[ή]σουσι πάντα οἱ θεοί· δίχα γὰρ τούτου οὐδέν ἐστιν. μηδενὶ [ἄλλῳ με]ταδῷς, ἀλλὰ κρύβε, πρὸς Ἡλίου, ἀξιωθεὶς ὑπὸ τοῦ κυρί[ου θεοῦ], τὸ μέγα τοῦτο μυστήριον. ἔστιν δὲ ὁ λόγος ὁ λεγόμενος ἑ[πτάκις ἑπ]τὰ πρὸς ἥλιον ἐξορκισμὸς τοῦ παρέδρου· ‘ωρι πι... [Ἀ]μοῦν τε αινθυφ πιχαρουρραιαλ καρφιουθ υμου ροθιρβαν οχαναυ μουναιχαναπταζω· ζων ταζωταζω· πταζω μαυϊας σουωρι σουω ωους σαραπτουμι σαραχθι α. ριχαμχω βιραθαυ ωφαυ φαυω δαυα· αυαντω ζουζω· αρρουζω ζωτουαρ θωμναωρι αυωι πταυχαρηβι αωυοσωβιαυ πταβαϊν αααααααα αεηιουωυωοιηεα χαχαχ χαχαχ χαρχαραχαχ Ἀμοῦν ω· ηϊ ϊαεωβαφρενεμουνοθιλαρικριφιαευεαϊφιρκιραλιθονυομενερφαβω[ε]αϊ χαθαχ φνεσχηρ φιχρο φνυρω φωχωχοχ ϊαρβαθα γραμμη φιβαωχνημεω.‘ οὗτός ἐστιν ὁ λόγος ὁ λεγόμενος πρὸς ἥλιον ἑπτάκις ἑπτά. ἔστιν δὲ ὁ γλυφόμενος εἰς τὸν λίθον Ἡλίωρος ἀνδρ[ιὰς] λεοντοπρόσωπος, τῇ μὲν ἀριστερᾷ χειρὶ κρατῶν πόλον καὶ μάστιγα, κύκλῳ δὲ αὐτοῦ δράκοντα οὐροβόρον, ὑπὸ δὲ τὸ ἔδαφος τοῦ λίθου τὸ ὄνομα τοῦτο (κρύβε)· ‘αχα αχαχα χαχ χαρχαρα χαχ.‘ καὶ διειρήσας σπάρτῳ Ἀνουβιακῷ φόρει περὶ τὸν τράχηλον. λόγος Σελήνῃ· ‘ϊνουθω πτουαυμι· ανχαριχ· χαραπτουμι· ανοχα αβιθρου αχαραβαυβαυ βαραθιαν ατεβ δουανανου αптυρ πανορ παυραχ· σουμι φορβα· φ[ο]ριφορβαραβαυ· βωηθ· αζα· φορ· ριμ μιρφαρ· ζαυρα· πταυζου· χωθαρπαραχθιζου· ζαιθ· ατιαυ ϊαβαυ καταντουμι βαθαρα χθιβι ανοχ.

1 ‘ ταῦτα εἰπὼν ὄψει τινὰ ἀστέρα ἐκ τοῦ 〈οὐρανοῦ〉 κατ’ ὀλίγον ἀναλυόμενον καὶ θεοποι[ο]ύμ[ε]νον. σὺ δὲ προσιὼν καὶ δεξάμενος τῆς χειρὸς καταφ[ιλ]ῶν λέγε τὸν αὐτὸν λόγον· ‘ωπταυμι ναφθαυβι μαιουθ[μ]ου μητροβαλ· ραχηπτουμι αμμωχαρι αυθει· α. ταμαρα· χιωβιταμ· τριβωμις· αραχο ισαρι ραχι· Ἰα[κο]υβι ταυραβερωμι ανταβι ταυβι.‘ ταῦ[τά] σοι εἰπόντι [ἀπ]οκριθήσεται, σὺ δὲ αὐτῷ λέγε· ‘τί ἐστιν τὸ ἔνθεόν σου ὄν[ομ]α; μήνυσόν μοι ἀφθόνως, ἵνα ἐπικαλέσωμαι α[ὐτό‘. ἔσ]τιν δὲ γραμμάτων ιε′· σουεσολυρ φθη μωθ. ἔστιν δὲ καὶ τὰ ἑξῆς λεγόμενα· ‘δεῦρό μοι, βασιλεῦ, 〈καλῶ σε〉 θεὸν θεῶν, ἰσχυρὸν, ἀπέραντον, ἀμίαντον, ἀδιήγητον, Αἰῶνα κατεστηριγ[μ]ένον· ἀκίνητός μου γίνου ἀπὸ τῆς σήμερον ἡμέρας ἐπὶ τὸν ἅπαντα χρόνον τῆς ζωῆς μου‘. ἔπειτα ἐρώτα αὐτὸν κατὰ τῶν αὐτῶν ὅρκων. ἐὰν τὸ ὄνομά σοι εἴπῃ, σὺ δὲ τῆς χειρὸς αὐτοῦ λαβὼν κάτελθε καὶ κατάκλινον αὐτόν, ὡς προεῖπον, παρατιθῶν αὐτῷ, ἐξ ὧν μεταλαμβάνεις βρωτῶν καὶ ποτῶν. ἐπὰν δὲ ἀπολύσῃς αὐτὸν, μετὰ τὸ ἀποστῆναι ἐπίθυε αὐτῷ τὰ προκείμενα καὶ σπένδε οἶνον, καὶ οὕτως τῷ κραταιῷ ἀγγέλῳ φίλος ἔσει· ἀποδημοῦντί σοι συναποδημήσει, πενομένῳ χρήματα δώσει, ἐρεῖ σοι τὰ μέλλοντα γενέσθαι καὶ πότε καὶ ποίῳ χρόνῳ, νυκτὸς ἢ ἡμέρας. ἐὰν δέ τί 〈σ〉 σε ἐρωτήσῃ· ‘τί κατὰ ψυχὴν ἔχω‘; ἤ· ‘τί μοι ἐγένετο ἤγε μέλ[λ-] ει γενέσθαι;‘ ἐπερώτα τὸν ἄγγελον, καὶ ἐρεῖ σοι σιωπῇ· σὺ δὲ ὡς ἀπὸ σεαυτοῦ λέγε τῷ ἐπερωτῶντί σε. τελευτήσαντός σου τὸ σῶμα [περισ]τελεῖ, ὡς πρέπον θεῷ, σοῦ δὲ τὸ πνεῦμα βαστάξας εἰς ἀέρ[α ἄ]ξει σὺν αὐτῷ. εἰς γὰρ Ἅιδην οὐ χ[ω]ρήσει ἀέριον πνεῦμα συσταθὲν κραταιῷ παρέδρῳ· τούτῳ γὰρ πάντα ὑπόκειτ[αι]. ὅταν δὲ θέλῃς τι πρᾶξαι, εἰς ἀέρα λέγε τὸ ὄνομα μόνον κα[ὶ· ‘ἐλθέ‘, κ]αὶ ὄψῃ αὐτόν, καὶ ἐγγύς σου ἑστῶτα, καὶ λέγε αὐτῷ· ‘ποίη[σον] τοῦτο τὸ ἔργον,‘ καὶ ποιεῖ παραυτὰ καὶ ποιήσας ἐρεῖ σοι· ‘τί ἄλλο βούλει; σπεύδω γὰρ εἰς οὐρανόν.‘ ἐὰν δὲ μὴ ἔχῃς παραυτὰ ἐπιτάξαι, λέγε αὐτῷ· ‘πορεύου, κύριε‘, καὶ ἀπελεύσεται. οὕτως οὖν ὁ θεὸς ὑπὸ σοῦ μόνου θεωρηθήσεται, οὐδὲ φωνήν ποτε αὐτοῦ οὐδεὶς ἀκούσει

λαλοῦντος, εἰ μὴ σὺ αὐτὸς μόν[ο]ς. ἐρεῖ δέ σοι περὶ κατακλίσεως ἀνθρώπου, εἰ ζήσεται ἢ τελ[ευτήσ]ει, καὶ ποίᾳ ἡμέρᾳ καὶ ποίᾳ ὥρᾳ νυκτός. δώσει δέ [σοι καὶ] ἀγρίας βοτάνας καὶ πῶς θερ[α]πεύσεις, καὶ ὡς θεὸς προ[σκ]υνηθήσει ἔχων τὸν θεὸν φί[λο]ν. ταῦτα εὖ ἀνύσει ὁ κραται[ὸς] πάρεδρος. ταῦτα οὖν μηδενὶ παραδίδου, εἰ μὴ μόνῳ [σο]υ ἰσχινῷ υἱῷ σου ἀξιοῦντι τὰ [παρ'] ἡμῶν ῥηθέντα ἐνεργ[ή]ματα. διευτύχει.' τὸ δὲ λεγόμενον πρὸς ἥλιον οὐδὲν ζητεῖ εἰ μ[ὴ] ϊαεωβαφρενεμουν (λόγος) καὶ ια[ρ]βαθα (λόγος). Ἔστιν οὖν τοῦ [π]ρωτοφυοῦς θεοῦ καὶ πρωτογε[ν]οῦς ῥυστική · 'ἐπικαλο[ῦ]μαί σε, κύριε, κλῦθί μου, ὁ ἅγιος θεός, [ὁ] ἐν ἁγίοις ἀναπαυόμενος, ᾧ αἱ Δόξαι παρεστήκασι διηνεκῶ 〈σ〉 · σὲ ἐπικαλοῦμαι, [προπ]άτωρ, καὶ δέομαί σου, αἰωναῖε, αἰωνακ 〈τ〉 ινοκράτωρ, αἰωνοπολοκράτωρ, ἐπὶ τοῦ ἑπταμερ[ί]ου σταθείς χαω· χαω·χα·ουφ· χθεθωνϊμεεθηχρινϊ[α] μερουμ ϊ Ἀλδα ζαω βλαθαμμαχωθ φριξα ηκε[ .

. ]φυηϊδρυμηω φερφριθω ϊαχθω ψυχεω φιριθμεω [ρ]ωσερωθ θαμαστρα φατιρι ταωχ ϊαλθεμεαχε· ὁ τὸ ῥίζωμα διακατέχω[ν, ὁ] τὸ ἰσχυρὸν ὄνομα ἔχων τὸ καθηγιασμένον [ὑ]πὸ πάντων ἀγγέλων· ἐπάκουσόν μου, ὁ κτίσας δεκανοὺς κ[ρα]ταιοὺς καὶ ἀρχαγγέλους, ᾧ παρεστήκασιν μυριάδες ἀγγ[έλ]ων ἄφατοι· κατ' οὐρανὸν ἀνυψώθης, καὶ κύριος ἐπεμ 〈αρ〉 τύρησεν [τ]ῇ σοφίᾳ σου καὶ κατηυλόγησέν σου 〈τὴν〉 δύν[α]μιν καὶ εἶπέν σε σθένειν καθ' ὁμοιότητα αὐτοῦ, ὅσον κα[ὶ α]ὐτὸ[ς σθένει. ἐπικαλοῦμαί σε, κύριε τῶν πάντων, ἐν ὥρᾳ ἀνάγ-] κης, ἐπά[κ]ουσόν μο[υ], ὅτι [θλ]ί[βε]ταί μου ἡ ψυχὴ καὶ ἀποροῦμαι ἀ[πάντων] ἄβου[λος· διὸ ἐλθέ] μοι, ὁ κυριεύων πάντων ἀγγέλων, ὑπεράσπισόν μου πρὸς πᾶσαν ὑπεροχὴν ἐξουσίας δαίμονος ἀε[ρί]ου [καὶ εἱ]μαρμένης. ναί, κύριε, ὅτι ἐπικαλοῦμαί σου τὸ κρυ[π]τὸν ὄνομα τὸ διῆκον ἀπὸ τοῦ στερεώματος ἐπὶ τὴν γῆν· αθηζοφωιμ ζαδηαγηωβηφιαθεαα Ἀμβραμι Ἀβρααμ θαλχιλθοε ελκωθωωηη αχθωνων σα Ἰσακ χωηϊουρθασιω Ἰωσϊα ϊχημεωωωω αωαεϊ, ἀνάσωσόν με ἐν ὥρᾳ ἀνάγκησ'. λέγε ἡλίῳ ἢ ὅπου ἐὰν κατα[λ]ηφθῇς. Ἀμαύρωσις ἀναγκαία · λαβὼν στέαρ ἢ ὀφθαλμὸν νυκτίβαυ καὶ κύλισμα κανθάρου καὶ 〈ὀμ〉 φακνίνου μύρου λειοτριβήσας πάντα χρῖε ὅλον τὸ σωμά[τ]ιόν σου, καὶ πρὸς ἥλιον λέγε· 'ἐξορκίζω σε τὸ μέγα ὄνομα βορκη φοιουρ ϊω ζιζια απαρξεουχ θυθη λαιλαμ αααααα [ιι]ιιι ωωωω ϊεω ϊεω ϊεω ϊεω ϊεω ϊεω ϊεω ναυναξ αιαι αεω αεω ηαω' καὶ ὑγρὸν ποίει καὶ ἐπίλεγε· 'ἀθεώρητόν με ποίησον, κύριε Ἥλιε, αεω ωαη εϊη ηαω, ἀπέναντι παντὸς ἀνθρώπου ἄχρι δυσμῶν ἡλίου ϊω ϊωω φριξ ριζω εωα.' Μνημονική · λαβὼν χάρτην ἱερατικὸν γράψον τὰ προκείμενα ὀνόματα ζμυρνομέλανι Ἑρμαϊκῷ καὶ γράψας, ὡς πρόκειται, ἀπόκλυσον ἐς ὕδωρ πηγαῖον ἀπὸ ζ′ πηγῶν καὶ πίε αὐτὸ ἐπὶ ἡμέρας ζ′ νήστης ἐξ ἀνατολῆς οὔσης τῆς σελήνης. πῖνε δὲ τὸ ἀρκοῦν. ἔστιν δὲ τὰ γραφόμενα εἰς τὸ πιττάκιον· 'καμβρη χαμβρη· σιξιωφι Ἅρπον Χνουφι βριντατηνωφριβρισκυλμααρουαζαρβαμεσεν κριφι νιπτουμι χμουμαωφ Ἀκτιωφι αρτωσι βιβιου βιβιου σφη σφη νουσι νουσι σιεγω σιεγω νουχα νουχα λινουχα λινουχα χυχβα χυχβα καξιω χυχβα δητοφωθ ιι αα οο υυ ηη εε ωω.' ταῦτα ποιήσας ἀπόκλυσον καὶ πίε, ὡς πρόκειται. ἔστιν δὲ καὶ τοῦ μελανίου ἡ σκευή· τρωγλῖτις ζμύρνα δραχμαὶ δ′, ἰσχάδας Καρικὰς γ′, φοινίκων Νικολάων ὀστέα ζ′, στροβίλια ἄβροχα ζ′, ἀρτεμισίας μονοκλώνου καρδίας ζ′, ἴβεως "Ἑρμαϊκῆς πτερὰ ζ′, ὕδωρ πηγαῖον. ταῦτα καύσας ποίει καὶ γράφε. Ἀμαύρωσι 〈σ〉 δοκίμ η . μέγα ἔργον· λαβὼν πιθήκου ὀφθαλμὸν ἢ νέκυος βιοθανάτου καὶ βοτάνην ἀγλαοφωτίδος (τὸ ῥόδον λέγει) ταῦτα τρίψας σὺν ἐλαίῳ σουσίνῳ, τρίβων δὲ αὐτὰ ἐκ τῶν δεξιῶν εἰς τὰ εὐώνυμα λέγε τὸν λόγον, ὡς ὑπόκειται· [verba coptica] ἀνάστηθι, δαίμων καταχθόνιε ιω Ἐρβηθ ιω Φορβηθ ιω Πακερβηθ ιω Ἀπομψ, ὃ ἐὰν ἐπιτάξω ὑμῖν ἐγὼ ὁ δεῖνα, ὅπως ἐπήκοοί μοι γένησθε.

' ἐὰν δὲ θελήσῃς ἄφαντος γενέσθαι, χρῖσόν σου τὸ μέτωπον μόνον ἐκ τοῦ συνθέματος, καὶ ἄφαντος ἔσῃ, ἐφ' ὅσον χρόνον θέλεις. ἐὰν δὲ θελήσῃς ἐμφαίνεσθαι, ἀπὸ δύσεως ἐρχόμενος εἰς ἀνατολὴν λέγε τὸ ὄνομα τοῦτο, καὶ ἔσει δηλωτικὸς καὶ ἔποπτος πᾶσιν ἀνθρώποις. ἔστιν δὲ τὸ ὄνομα· 'Μαρμαριαωθ μαρμαριφεγγη, ποιήσατέ με, τὸν δεῖνα, ἔποπτον πᾶσιν ἀνθρώποις ἐν τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σήμερον ἡμέρᾳ, ἤδη, ἤδη, ταχύ, ταχύ.ʻ ἔχε 〈ι〉 λίαν καλῶς. Ἀπολλωνιακὴ ἐπίκλησις · λαβὼν κλῶνα δάφν[ης] ἑπτάφυλλον ἔχε ἐν τῇ δεξ[ιᾷ] χειρὶ καλῶν τοὺς οὐρανίους θεοὺς καὶ χθονίους δαίμον[ας]. γράψον εἰς τὸν κλῶνα τῆς δάφνης τοὺς ζ′ ῥυστικοὺς χ[α]ρακτῆρας. εἰσὶν οἱ χαρακτῆρες οἵδε· [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] τὸν μὲν πρῶτον χαρακτῆρα εἰς τὸ πρῶτον φύλλον, τὸν [δε]ύτερον πάλιν οὕτως εἰς τὸ δεύτερον, ἄχρι λήξεως τῶν ζ′ φύλλων καὶ τῶν ζ′ χαρακτήρων. βλέπε δέ, μὴ ἀπολέσῃς φύλλον [καὶ] σεαυτὸν βλάψῃς· τοῦτο γὰρ μέγιστον σώματος φυλακτικόν, ἐν ᾧ πάντες ὑποτάσσονται καὶ θάλασσα καὶ πέτραι φρίσσουσι καὶ δαίμονες φυλ〈άσσονται χαρ〉ακτήρων τὴν θείαν ἐνέργειαν, ἥνπερ μέλλεις ἔχειν. ἔστιν γὰρ φυλακτήριον μέγιστον τῆς πράξεως, ἵνα μηδὲν πτοηθῇς. ἔστιν δὲ ἡ πρᾶξις· λαβὼν λύχνον ἀμίλτωτον σκεύασον διὰ βυσσίνου ῥάκους καὶ ῥοδίνου ἐλαίου ἢ ναρδίνου καὶ στολίσας σεαυτὸν προφητικῷ σχήματι ἔχε ἐβεννίνην ῥάβδον ἐν τῇ λαιᾷ χειρὶ καὶ τὸ φυλακτήριον ἐν τῇ δεξιᾷ, τουτέστιν τὸν κλῶνα τῆς δάφνης, ἔχε δὲ ἐν ἑτοίμῳ λύκου κεφαλήν, ὅπως ἂν ἐπιθῇς τὸν λύχνον ἐπὶ τῆς κεφαλῆς τοῦ λύκου, καὶ βωμὸν ὠμὸν στησάμενος ἐγγὺς τῆς κεφαλῆς καὶ τοῦ λύχνου, ἵνα ἐπιθύσῃς τῷ θεῷ· καὶ εὐθέως εἰσέρχεται τὸ θεῖον πνεῦμα. ἔστιν δὲ τὸ ἐπίθυμα λύκου ὀφθαλμός, στύραξ, κιννάμωμον, βδέλλα καὶ ὅτι ἔντιμον ἐν τοῖς ἀρώμασι, καὶ σπονδὴν τέλεσον ἀπὸ οἴνου καὶ μέλ[ι]τος καὶ γάλακτος καὶ ὀμβρίου ὕδατος 〈καὶ ποί〉ει πλακοῦντας ζ′ καὶ πόπανα ζ′. ταῦτα μέλλεις ὅλα ποιῆσαι [ἐγ]γὺς τοῦ λύχνου, ἐστολισμένος καὶ ἀπεχόμενος ἀπὸ πάντων μυσαρῶν πραγμάτων καὶ πάσης ἰχθυοφαγίας καὶ πάσης συνουσίας, ὅπως ἂν εἰς μεγίστην ἐπιθυμίαν ἀγάγῃς τὸν θεὸν εἰς σέ. ἔστιν δὲ τὰ ὀνόματα, 〈ἃ〉 μέλλεις γράψαι εἰς τὸ βύσσινον ῥάκος καὶ ἐλλυχνιάσεις εἰς τὸν ἀμίλτωτον λύχνον· ʻαβεραμενθωουλερθεξ αναξ εθρενλυοω θνεμα ραιβαι· αεμινναε βαρωθερ ρεθωβαβ εανιμεα.ʻ ὅταν τελέσῃς πάντα τὰ προειρημένα, κάλει τῇ ἐπαοιδῇ· ʻ Ἄναξ Ἀπόλλων, ἐλθὲ σὺν Παιήονι, χρημάτισόν μοι, περὶ ὧν ἀξιῶ, κύριε. δέσποτα, λίπε Παρνάσιον ὄρος καὶ Δελφίδα Πυθὼ ἡμετέρων ἱερῶν στομάτων ἄφθεγκτα λαλούντων, ἄγγελε πρῶτε 〈θε〉οῦ, Ζηνὸς μεγάλοιο, Ἰάω, καὶ σὲ τὸν οὐράνιον κόσμον κατέχοντα, Μιχαήλ, καὶ σὲ καλῶ, Γαβριὴλ πρωτάγγελε· δεῦρ’ ἀπ’ Ὀλύμπου, Ἀβρασάξ, ἀντολίῃς κεχαρημένος, ἵλαος ἔλθοις, ὃς δύσιν ἀντολίηθεν ἐπισκοπιάζει[ς, Ἀ]δωναί· πᾶσα φύσις τρομ[έ]ει σε, πάτερ κό[σ]μοιο, Πακερβηθ. [295]

1 (300) ὁρκίζω κεφαλήν τε θεοῦ, ὅπερ ἐστὶν Ὄλυμπος, ὁρκίζω σφραγῖδα θεοῦ, ὅπερ ἐστὶν ὅρασις, ὁρκίζω χέρα δεξιτερήν, ἣν κόσμῳ ἐπέσχες, ὁρκίζω κρητῆρα θεοῦ πλοῦτον κατέχοντα, ὁρκίζω θεὸν αἰώνιον Αἰῶνά τε πάντων, ὁρκίζω Φύσιν αὐτοφυῆ, κράτιστον Ἀδωναῖον, ὁρκίζω δύνοντα καὶ ἀντέλλοντα Ἐλωαῖον, ὁρκίζω τὰ ἅγια καὶ θεῖα ὀνόματα ταῦτα, ὅπως ἂν πέμψωσί μοι τὸ θεῖον πνεῦμα καὶ τελέσῃ, ἃ ἔχω κατὰ φρένα καὶ κατὰ θυμόν. κλῦθι, μάκαρ, κλήζω σε, τὸν οὐρανοῦ ἡγεμονῆα καὶ γαίης, χάεός τε καὶ Ἄϊδος, ἔνθα νέμονται ... πέμψον δαίμονα τοῦτον ἐμαῖς ἱεραῖς ἐπαοιδαῖς νυκτὸς ἐλαυνόμενον προστάγμασιν σῆς ὑπ’ ἀνάγκης, οὗπερ ἀπὸ σκήνους ἐστὶ τόδε, καὶ φρασάτω μοι, ὅσσα θέλω γνώμῃσιν, ἀληθείην καταλέξας, πρηΰν, μειλίχιον μηδ’ ἀντία μοι φρονέοντα. μηδὲ σὺ μηνίσῃς ἐπ’ ἐμαῖς ἱεραῖς ἐπαοιδαῖς, ἀλλὰ φύλαξον ἅπαν δέμας ἄρτιον ἐς φάος ἐλθεῖν· ταῦτα γὰρ αὐτὸς ἔταξας ἐν ἀνθρώποισι δαῆναι. κλήζω δ’ οὔνομα σὸν Μοίραις αὐταῖς ἰσάριθμον· αχαϊφω θωθω αϊη ϊαηϊα αϊη αϊη ϊαω θωθω φιαχα.ʻ καὶ ὅταν εἰσέλθῃ, ἐρώτα αὐτόν, περὶ οὗ θέλεις, περὶ μαντείας, περὶ ἐποποιίας, περὶ ὀνειροπομπείας, περὶ ὀνειραιτησίας, περὶ ὀνειροκριτίας, περὶ κατακλίσεως, περὶ πάντων, ὅ[σ]ων ἐστὶν ἐν τῇ μαγικῇ ἐμπει[ρίᾳ]. στρῶσον δὲ θρόνον καὶ κλ[ι]ντήριο[ν δ]ιὰ βυσσίνω[ν], σὺ δὲ στάθητι θύων διὰ τοῦ προειρημένου ἐπιθ[ύ]ματος. καὶ μετὰ τὴν ἐξ[έ]τασιν ἐὰν θέλῃς ἀπολῦσαι αὐτὸν τὸν θεόν, τὴν προειρημένην ἐ[β]εννίνην ῥάβδον, ἣν ἔχεις χειρὶ ἐν τῇ λαιᾷ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετένεγκον εἰς τὴν δεξιὰν καὶ τὸν κλῶνα τῆς δάφνης, ὃν ἔχεις ἐν τῇ δεξιᾷ χειρί, μετένεγκον εἰς τὴν ἀριστεράν, καὶ σβέσον τὸν καιόμενον λύχνον καὶ χρῶ τοῦ αὐτοῦ ἐπιθύματος λέγων ὅτι· ‘ἵλαθί μοι, προπάτωρ, προγενέστερε, αὐτογένεθλε· ὁρκίζω τὸ πῦρ τὸ φανὲν πρῶτον ἐν ἀβύσσῳ, ὁρκίζω τὴν σὴν δύναμιν, τὴν πᾶσι μεγίστην, ὁρκίζω τὸν φθείροντα μέχρις Ἄϊδος εἴσω, ἵνα ἀπέλθῃς εἰς τὰ ἴδια πρυμνήσια καὶ μή με βλάψῃς, ἀλλ’ εὐμενὴς γενοῦ διὰ παντός.‘ ‘ . [345]

2 .. ακρακαναρβα· καναρβα· αναρβα· ναρβα· αρβα· ρβα· βα· [α].‘ λέγε ὅλον οὕτως τὸ ὄνομα πτερυγοειδῶς. ‘Φοῖβε, μαντοσύναισιν ἐπίῤῥοθος ἔρχεο χαίρων, Λητοΐδη, ἑκάεργε, ἀπότροπε, δεῦρ’ ἄ[γ]ε, δεῦρο· δεῦρ’ ἄγε, θεσπίζων, μαντεύεο νυκτὸς ἐν ὥρῃ. αλλαλαλα· αλλαλαλα· σανταλαλα· ταλαλα.‘ λέγε τοῦτο τὸ ὄνομα καὶ αὐτὸ ἓν ὑφαιρῶν πτερυγοειδῶς. ‘εἴ ποτε δὴ φιλόνικον ἔχων κλάδον ἐνθάδε δάφνης [σῆ]ς ἱερῆς κορυφῆς ἐφθέγγεο πολλάκις ἐσθλά· καὶ νῦν μοι σπεύσειας ἔχων θεσπίσματ’ ἀληθῆ· λαητωνιον καὶ ταβαραωθ’· αεω· εω, ἄναξ Ἄπολλον Παιάν, [ὁ] τὴν νύκτα ταύτην κατέχων καὶ ταύτης δεσποτεύων, ὁ τὴν ὥραν τῆς εὐχῆς κ[α]ὐτῆς κρατῶν. ἄγετε, κραταιοὶ δαίμονες, συνεργήσατέ μοι σήμερον ἐπ’ ἀλ[η]θείας φθενγόμενοι σὺν τῷ τῆς Λητοῦς καὶ Διὸς υἱῷ.‘ ἐπίφερε δὲ καὶ τοῦτο, ὅπερ ἐ[ν] φύλλοις δάφνης γράφεται, καὶ μετὰ 〈τὰ〉 τοῦ π[ιτ]τακίου, ὅπου ὁ ἀκέφαλος γράφεται, καὶ τ[ίθε]ται πρὸς κεφαλῆς συνειλιχθέν. λέγεται δὲ καὶ εἰς τὸν λύχνον μετὰ τοῦ εἰσελθεῖν ἀπὸ τῆς εὐχῆς πρὶν κοιμηθῆναι, λιβάνου χόνδρον ἐπιτιθέντος 〈σου〉 τῇ θρυαλλίδι τ[οῦ] λύχνου· ‘βοασοχ· ωεαη· ϊαωϊη· ωϊαη· ωϊαη· νιχαρο· πληξ· σθομ· ωθω[·]υ· ιε· ιω· ηϊ· Ἰαήλ, [ι]ρμουχ· ωνορ· ωευε ϊυω· εαω· Σαβαώθ· θηοτη· παω·μιαχ [σ]ϊεου· ϊαω· ϊε· ϊεω[ ... ]· ϊου ϊεου ϊω ϊηι ηω· ϊηαϊ ϊεωα· αεηϊουω.‘ Πρὸς δὲ τὸ μνημονεύειν τὰ λεγόμε[να] χρῶ συνθέματι τούτῳ· λαβὼν βοτάν[ην] ἀρτεμισίαν, ἡλιοπάλιον, λίθον πνέον[τα], κοκκούφατος καρδίαν τοῦ καὶ γυπαλέκ[τορ]ος, τρίψας ὁμοῦ πάντα πρόσβαλε μέλιτ[ο]ς τὸ ἀρκοῦν καὶ χρῖέ σου τὰ χείλη, προλιβανωτίσας τὸ στόμα χόνδρῳ λιβάνου. Ποίησ[ις] αὕτη· ἑσπέρας μέλλων κοιμᾶσθαι ὀνείῳ γάλακτι καθᾶρόν σο[υ] τὴν στρωμνήν, κ[λ]άδους δὲ δάφνης ἔχων ἐν χερσίν, ὧν καὶ ποίησις ὑπόκειται, λέγε τὴν ὑποκειμένην ἐπίκλησιν. ἔστω δὲ ἡ στρωμνὴ χαμαὶ ἢ ἐπὶ καθαρῶν θρύων ἢ ἐπὶ ψιάθου, κοι[μ]ῶ δὲ ἐπὶ τοῦ δεξιοῦ πλευροῦ χαμαί τε καὶ ἐν ὑπαίθρῳ. ποίει δὲ τ[ὴ]ν ἐπίκλησιν μηδ[ε]νὶ δοὺς ἀπόκρισιν, ἐπίθυε δὲ ἐπικαλούμενος λίβανον ἄτμητον καὶ σ[τ]ροβίλους δεξιοὺς δ[ώ]δεκα καὶ ἀλέκτορας ἀ[σ]πίλους β′, τῷ Ἡλίῳ ἕνα καὶ τῇ Σελήνῃ ἕνα, ἐν τῇ πρώτῃ ἡμέρᾳ, ἐπὶ χ[αλ]κοῦ ἢ γηίνου θυμιατηρίου. ἐν δεξιᾷ τὸ[ν] χαρακτῆρα τοῦτον γράφε κ[αὶ] πρὸς τῇ ὀρθῇ αὐτοῦ [ὑπο]γραμμῇ κοιμῶ. εὐχόμενος δὲ στέφα[ν]ον ἔχε δάφνινον [τ]οιοῦτον· λαβὼν κλ[ῶ]νας δάφνης ιβ′ καὶ ποιήσας ἀπὸ μὲν τῶν ζ′ κλάδων στέφανον, τοὺς δὲ λοιποὺς ἄλλους πέντε συνδήσας ἔχε ἐν τῇ χειρὶ τῇ δεξιᾷ εὐχόμενος καὶ μετ’ αὐτῆ[ς] κοιμῶ ἐν τῷ αὐτῷ σχήματι, γράφε δὲ σμυρνομέλανι τῷ σοι δηλουμένῳ ἐν πίννῃ λι[ .. ] καὶ κάτεχε εὐχόμενος μετὰ τῆς δάφνης ὀνόματα, ὧν ἀρχή ἐστιν ἥδε· βολσοχ καὶ τὰ [ἑ]ξῆς. τὰ δὲ κατὰ κλάδον εἰς ἕκαστον φύλλον γραφόμενα ὀνόματα· ‘υεσσεμμιγαδων ορθω· Βαυβώ· νοηρε· σοιρε· σοιρη σανκανθαρα· Ἐρεσχιγάλ. σανκιστη· δωδεκακιστη· ἀκρουροβόρε· κοδηρε.‘ γράφε ὀνόματα ιβ′. ἔστιν δὲ τὸ μέλαν τόδε· σμύρναν καὶ πεντεδάκτυλον βοτάνην καὶ ἀρτεμισίαν καύσας ἁ[γ]νῶς λειοτρίβησον καὶ χρῶ. λαβὼν κλάδον δάφνης καὶ κύμινον Αἰθιοπικὸν καὶ στρύχνον βοτάνην ὁμοῦ τρῖψον, καὶ ὕδωρ καινοῦ φρέατος ὀρυγέντ[ο]ς πρὸ μηνῶν ε′ ἢ ἐντὸς ἐτῶν ε′ ἢ ὃ ἐὰν καταλάβῃς ἀπὸ πρώτης ἡμέρας τῆς ὀρύξεως, ἐν ἀγγείῳ ὀστρακίνῳ ἀνενεγκὼν καὶ ἐμβαλὼν εἰς τὸ ὕδωρ τὰ τετριμμένα, ἔασον ἐπὶ νύκτας μόνας γ′ καὶ ἐπικαλούμενος εἰς τὸ οὖς σου τὸ δεξιὸν βάλε ὀλίγον. πρὸς δὲ τὸ μνημονεύειν σε εἰς φύλ[λ]ον πεντεδακτύλου βοτάνης γράψον τὸν ὑποκείμενον χαρακτῆρα καὶ ἔχε ἐν τῷ στόματι κοιμώμενος, γράψας σμυρνομέλανι· ἔστιν δὲ [Magical Character] . ἄρχου δὲ τῆς προκειμένης ἐπικλήσεως ἀπὸ ζ′ τῆς σελήνης, μέχρις ὅταν ὑπακούσῃ καὶ συσταθῇς αὐτῷ. εἰσὶν δὲ καὶ 〈ἄλλ〉 οι ἐπάναγκοι· προσφέρονται δὲ πάντες τῇ σελήνῃ μετὰ τὴν α′ ἡμέραν ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δευτέραν. ἐὰν οὖν μὴ φανῇ, ἐπίθυε κριοῦ μέλανος ἐγκέφαλον, τῇ τρίτῃ τὸν ὄνυχα τὸν μικρὸν τοῦ ἐμπροσθιδίου δεξιοῦ ποδός, τὸν ἐπὶ τοῦ σφυροῦ, τῇ τετάρτῃ ἐγκέφαλον ἴβεως, τῇ πέμπτῃ τὸ ὑπογ[ε]γραμμένον ζῴδιον εἰς χάρτην γράψας τῷ σμυρνομέλανι, περιειλήσας ῥάκει ἀπὸ βιοθανάτου βάλε εἰς ὑποκαύστραν βαλανείου. ἔνιοι δὲ οὐκ εἰς ὑποκαύστραν· σφοδρὸν γάρ ἐστιν, ἀλλ’ ὑπερκρεμνῶσιν τοῦ λύχνου ἢ ὑποκάτω αὐτὸ τιθέασιν.

2 (50) ἐν ἄλλῳ δὲ οὕτως εὗρον· ἐὰν μὴ οὕτως ὑπακούσῃ, ἐνειλήσας τῷ αὐτῷ ῥάκει τὸ ζῴδιον βάλε εἰς ὑποκαύστραν βαλανείου τῇ πέμ[π]τῃ ἡμέρᾳ, μετὰ τὴν ἐπίκλησιν λέγων· ‘αβρι· καὶ αβρω· εξαντιαβιλ· θεὲ θεῶν, βασιλεῦ βασιλέων, καὶ νῦν μοι ἐλθεῖν ἀνάγκασον φίλον δαίμονα χρησμῳδόν, ἵνα μὴ εἰς χείρονας βασάνους ἔλθω τὰς κατὰ τῶν πιττακίων.‘ ἐπὶ δὲ τούτοις ἐὰν μὴ ὑπακούσῃ ἔλαιον καλὸν καθαρὸν ῥαφάνινον ἐπίχεε παιδὶ ἀφθόρῳ γυμναζομένῳ καὶ ἀναλαβὼν σκεύαζε λύχνον ἀμίλτωτον, καὶ κείσθω ἐπὶ λυχνίας πεπλασμένης ἐκ παρθένου γῆς, τινὲς δὲ καὶ τῷ θυμιατηρίῳ ἐπιχέουσι τοῦ ἐλαίου· ἐὰν δὲ αἴσθῃ πληγῆς, μάσησιν [τ]οῦ κυμίνου με[τ]ὰ ἀκράτου κατάπιε. τὸ δὲ προκείμενον ζῴδιον, ὡς προγέγραπται, μετὰ τῶν χαρακτήρων καὶ τοῦ ὑποκειμένου λόγου γράφε ζμύρνῃ διπλοῦν εἰς χάρτην ἱερατικόν. καὶ τούτων τὸ μὲν ἓν ἔχων ἐπικαλεῖ, κοιμώμενος ἐν τῇ δεξιᾷ χειρὶ κατέχων καὶ ὑποθεὶς τῇ κεφαλῇ, τὸ δὲ ἕτερον τῆς χρείας τοῦ ἐπανάγκου καλούσης τῷ προειρημένῳ ῥάκει ἐνειλήσας χ[ρ]ήσει, ὡς ὑπόκειται. Ἄλλως ποίησις· λαβὼν κλάδον δάφνης γράφε τὰ β′ ὀν[ό]ματα κατὰ φύλλων, ἕν· ‘[ακρακαναρβα·] κρακαναρβα· ρακαναρβα· ακαναρβα· καναρβα· αναρβα· [ν]αρβα· αρβα ρβα [βα] α·‘ καὶ τὸ ἕτερον· ‘σανταλαλα· ανταλαλα· νταλαλα· ταλαλα· αλαλα· λαλα· αλα· λα· α.‘ λαβὲ δὲ ἄλλον κλάδον δωδεκαφύλλον, ἐφ’ ᾧ ἐπίγραφε τὸ καρδι 〈α〉 κὸν ὄνομα τὸ ὑποκείμενον, ἀρξάμενος τοῦτο ἀπὸ ἱερογλώσσου. [ἔ]στιν δὲ τοῦτο· … καὶ τὸν μὲν κλῶνα τὸν ἐγγεγραμμένον τοῖς δύο ὀνόμασι ποίει σεαυτῷ στέφανον, περιπλέξας αὐτῷ στέφος, ὅ ἐστιν λευκὸν ἔριον, ἐκ διαστημάτων δεδεμένον φοινικῷ ἐρίῳ, κατερχέσθω δὲ ἐπὶ τὰς κατακλεῖδας παρειμένον. ἐπαρτήσεις δὲ καὶ τῷ δωδεκαφύλ[λ]ῳ κλάδῳ ὁμοίως στέφος, συνίστα δὲ σεαυτὸν τῷ θεῷ οὕτως· ἔχων ὁλόλευκον ἀλέκτορα κα[ὶ στ]ρόβιλον, καὶ οἶνον σπένδων αὐτ[ῷ] ἄλειψον καὶ περίμενε εὐχόμενος, ἕως ἡ θυσία ἀποσβῇ, σύνχριε δέ σε ὅλ[ο]ν τῷ συνθέματι τούτῳ· δαφνίδας, κύμινον Αἰθιοπικόν, στρύχνον καὶ Ἑρμοῦ δ[ά]κτυλον. ἐρεῖς δὲ καὶ πρὸς τὸν λύχνον τα[ῦ]τα· ‘περφαηνω … διαμανθω . λ· διαμενχθωθ· περπερχρη ωανουθ φρουμεν· θορψου.‘ τ[ὸ] δὲ κύριον· ‘ακτι καρα αβαιωθ· κύριε [θ]εέ, θεοῦ ὑπηρέτα, ἐ[π]έχων τὴν νύκτα τα[ύ]την, παράστα μοι, Ἄπολλον Παιάν.‘ κοιμῶ τὴν κεφαλὴν ἔχων πρὸς νότον. χρῶ δὲ ἐν τοῖς ἀνατολικοῖς, σελήνης οὔσης ἐν διδύμοις [Magical Character] . (τετάρτη κλῆσις·) ‘Δάφνη, μαντοσύνης ἱερὸν φυτὸν Ἀπόλλωνος, ἧς ποτε γευσάμενος πετάλων ἀνέφηνεν ἀοιδὰς αὐτὸς ἄναξ σκηπτοῦχος, Ἰήιε, κύδιμε Παιάν, ἐν Κολοφῶνι ναίων, ἱερῆς ἐπάκουσον ἀοιδῆς. ἐλθὲ τάχος δ’ ἐπὶ γαῖαν ἀπ’ οὐρανόθεν 〈μοι〉 ὁμιλῶν, ἀμβροσίων στομάτων τε σταθεὶς ἔμπνευσον ἀοιδάς, αὐτός, ἄναξ μολπῆς, μόλε, κύδιμε μολπῆς ἀνάκτωρ. κλῦθι, μάκαρ, βαρύμηνι, κραταιόφρων, κλύε, Τιτάν, ἡμετέρης φωνῆς νῦν, ἄφθιτε, μὴ παρακούσῃς. στῆθι, μαντοσύνην ἀπ’ ἀμβροσίου στομάτοιο ἔννεπε τῷ ἱκέτῃ, πανακήρατε, θᾶττον, Ἄπολλον.‘ (τοῦ ἡλίου ἀνατέλλοντος λέγε·) χαιρετισμός· ‘χαῖρε, πυρὸς ταμία, τηλεσκόπε κοίρανε κόσμου, Ἠέλιε κλυτόπωλε, Διὸς γαιήοχον ὄμμα, παμφαές, ὑψικέλευθα, διιπετές, οὐρανοφοῖτα, αἰγλήεις, ἀκίχητε, παλαιγενές, ἀστυφέλικτε, χρυσομίτρη, φαλεροῦχε, πυρισθενές, αἰολοθώρηξ, πωτήεις, ἄκαμνε, χρυσήνιε, χρυσοκέλευθα, πάντας δ’ εἰσορόων 〈τε〉 καὶ ἀμφιθέων καὶ ἀκούων· σοὶ φλόγες ὠδίνουσι φεραυγέες ἤματος Ὄρθρον, σοὶ δὲ μεσημβριόωντα πόλον διαμετρήσαντι Ἀντολίη μετόπισθε ῥοδόσφυρος εἰς ἑὸν οἶκον ἀχνυμένη στείχει, πρὸ δέ σου Δύσις ἀντεβόλησεν Ὠκεανῷ κατάγουσα πυριτρεφέων ζυγὰ πώλων, Νὺξ φυγὰς οὐρανόθεν καταπάλλεται, εὖτ’ ἂν ἀκούσῃ πωλικὸν ἀμφὶ τένοντα δεδουπότα ῥοῖζον ἱμάσθλης, ααааааа· εεεεεεε· ηηηηηηη· ιιιιιι· ooooooo· υυυυυυυ· ωωωωωωω·

Μουσάων σκηπτοῦχε, φερέσβιε, δεῦρό μοι ἤδη, δεῦρο τάχος δ’ ἐπὶ γαῖαν, Ἰήιε κισσεοχαίτα. μολπὴν ἔννεπε, Φοῖβε, δι’ ἀμβροσίου στομάτοιο· χαῖρε, πυρὸς μεδέων, αραραχχαρα ηφθισικηρε, καὶ Μοῖραι τρισσαὶ Κλωθώ τ’ Ἄτροπός τε Λάχις τε.

σὲ καλῶ, τὸν μέγαν ἐν οὐρανῷ, ἀεροειδῆ, αὐτεξούσιον, ᾧ ὑπετάγη πᾶσα φύσις, ὃς κατοικεῖς τὴν ὅ[λ]ην οἰκουμένην, 〈ὃν〉 δορυφοροῦσιν οἱ δ[ε]καὲξ γίγαντες, ἐπὶ λωτῷ καθήμενος καὶ λαμπυρίζων τὴν ὅλην οἰκουμένην· ὁ καταδείξας ἐπὶ τῆς γῆς ζῶα· σὺ τὸ ἱερὸν ὄρνεον ἔχεις ἐν τῇ στολῇ ἐν τ[οῖς π]ρὸς ἀπηλιώτην μέρεσιν τῆς ἐρυθρᾶς θαλάσσης, ὥσ[περ ἔ]χεις ἐν τοῖς πρὸς βορρᾶ μέρεσι μορφὴν νηπίου παιδὸς ἐπὶ λωτῷ καθημένου, ἀντολεῦ, πολυώνυμε, σενσενγεν· βαρφαραγγης· ἐν δὲ τοῖς πρὸς νότον μέρεσι μορφὴν ἔχεις τοῦ ἁγίου ἱέρακος, δι’ ἧς πέμπεις τὴν εἰς ἀέρα πύρωσιν, τὴν γινομένην λερθεξ αναξ· ἐν δὲ τοῖς πρὸς λίβα μέρεσι μορφὴν ἔχεις κορκοδείλου, οὐρὰν ὄφεως, ἔνθεν ἀφίων ὑετοὺς καὶ χιόνας· ἐν δὲ τοῖς πρὸς ἀπηλιώτην μέρεσι δράκοντα ἔχεις πτεροφυῆ, βασίλειον ἔχων ἀεροειδῆ, ᾧ κα[τα]κρατεῖς τοὺ〈σ〉 ὑπ’ οὐρανοῦ καὶ ἐπὶ γῆς ἐ〈ρ〉ισμούς· θεὸς γὰρ ἐφάνης τῇ ἀληθείᾳ, ιω ιω Ἐρβηθ Ζάς, Σαβαώθ· σμαρθ Ἀδωναΐ· σουμαρτα ϊαλου· βαβλα· υαμμοληενθιω· πετοτουβιηθ· ιαρμιωθ· λαιλαμψ· χωουχ· Ἁρσενοφρη· ηυ Φθᾶ ηωλι· κλῦθί μοι, μέγιστε θεὲ Κόμμης, τὴν ἡμέραν φωτίζων, ναθμαμεωθ· ὁ νήπιος ἀνατέλλων μαϊραχαχθα· ὁ τὸν πόλον δι[οδ]εύων θαρχαχαχαν· ὁ ἑαυτῷ συνγινόμενος καὶ δυ[ν]αμούμενος, προσαυξητὰ καὶ πολύφω〈τε, κ〉τίστα σεσενγενβαρφαραγγης ὑδάτων, φέριστε θεὲ Κόμμη, Κόμμη ϊασφη· ϊασφη· βιβιου· βιβιου· νουσι· νουσι· σιεθων· σιεθων· Ἁρσ[α]μωσι Ἁρσαμωσι· νουχα· νουχα· η· ηι· ομβριθαμ· βριθιαωθ· αβεραμεν θωουθ λερθεξ αναξ· εθρελυοωθ· νεμαρεβα, ὁ μέγιστος καὶ ἰσχυρὸς θεός· ἐγώ εἰμι ὁ δεῖνα, ὅστις σοι ἀπήντησα, καὶ δῶρόν μοι ἐδωρήσω τὴν τοῦ μεγίστου σου ὀνόματος γνῶσιν, οὗ ἡ ψῆφος θϡρθʹ· ιη· ιε· ια· ιαη· ιαε[·] ιευ· ιηα· ιωα· ιευ· ιηι· ηια· εα· εη· ηε· ωη· ηω· εηε· εεη· ηεε· ααω· ωεα· εαω· ωι· ωε· ηω· εη· εαε· ιιι· οοο· υυυ· ωωω· ιυ· ευ. ου· ηεα· ιηεα· εαε· εια· ιαιε· ιηα· ιου· ιωε· ιου· ϊη· ϊη· ϊη· ϊηϊε· Παιάν, Κολοφώνιε Φοῖβε, Παρνήσσιε Φοῖβε, Κατάλιε Φοῖβε· ιηεα· ιη· ιω· ιυ· ιε· ιωα· ιηα· ευα· ωεα· ευηα· ωευα· ευωα· ευιε· ευιαε· ευε· ευη· ευιε· ευω· ϊευαε· ευηαε· ὑμνήσω Μέντορι Φοίβῳ .. αρεωθ· ιαεωθ· ιωα· ιωηα· αε· οωε· αηω· ωηα· ηωα· αηε· ιε· ιω· ιωιω· ιεα· ιαη· ιεου· εουω· αα[·] αηω· εε· εηυ· ηη· εηα· χαβραχ φλιες κηρφι κροφι νυρω φωχω βωχ· σὲ καλῶ, Κλάριε Ἄπολλον εηυ· Καστάλιε· αηα· Πύθιε· ωαε· Μουσῶν Ἄπολλον ιεω[·] ωεϊ.‘ Ποίησις τῆς πράξεως· τῇ πρώτῃ ἡμέρᾳ ὄνυχας προβάτου, τῇ δευτέρᾳ αἰγὸς ὄνυχας, τῇ τρίτῃ λύκου τρίχας ἢ ἀστράγαλον. τούτοις τοῖς ἐπιθύμασι χρῶ εἰς τὰς ἄλλας γʹ ἡμέρας· τῇ ἑβδόμῃ, ὅταν μὴ ἔλθῃ, ῥάκος ἀπὸ βιαίου ἐνλύχνιον ποιήσας ἅψον λύχνον ἀπὸ ἐλαίου καθαροῦ καὶ δίωκε τοὺς προκειμένους λόγους ἱκετεύων καὶ παρακαλῶν τὸν θεὸν εἰς εὐμένειαν ἥκειν· ἔστω δέ σου ὁ τόπος ἁγνὸς ἀπὸ παντὸς μυσεροῦ, καὶ ἁγνεύσας καθαρίως προκατάρχου τῆς τοῦ θεοῦ ἱκεσίας· ἔστιν γὰρ μεγίστη καὶ ἀνυπέρβλητος.

πρᾶξις· λαβὼν πηλὸν καθᾶρον τὰς φλιὰ[ς τοῦ κο]ιτῶνος, ἐν ᾧ ἁγνεύεις, καὶ οὕτω πηλώσας ἐπ[ί]γραφε τὰ γρα[φόμ]ενα ταῦτα χαλκῷ γραφείῳ εἰς τὴν δεξιὰν φλιάν· ἔστι δὲ τὰ γραφόμενα Ἁρσαμωσι· νουχα· .... υχα· [Magical Character] ηι ηι ια ια ιε ηυ Ἀβρασαξ λερθεμινωθ· εἰς δὲ τὴν ἀριστερὰν ὁμοίως φλιάν· ιωε· ηωα· ηιεα· ιαια· ιειαιηεα· Ἅρπον Κνουφι (ὁ λόγος) εἰς τὰ ἐπάνω τῆς θύρας αα εε Μιχαήλ· ηια· ευω· υαε· ευω· ιαε· εἰς δὲ τὴν ὑποκάτω τὸν κάνθαρον, ὡς περιέχει, χρίσας αἷμα αἰγός, ἐκτὸς τοῦ κοιτῶνος· ἔστω δὲ ὁ θρόνος καθαρὸς καὶ ἐπάνω σινδόνιον καὶ ὑποκάτω ὑποπόδιον. ἐπίγραφε δὲ εἰς τὸν θρόνον, εἰς τὰ ὑποκάτω· ‘ιη· ιεα ιωαυ Δαμναμενεὺς αβραη· αβραω αβραωα· δέσποτα Μουσῶ[ν], ἵλαθί μοι, τῷ σῷ ἱκέτῃ, καὶ ἔσο εὐμενὴς καὶ εὐίλατος, φάνηθί μοι καθαρῷ τῷ προσώπῳ.‘ ἀκέφαλος Σαβαώθ ιηεα ηωαε ααα αααα εεεε ι εεε ηηηηηηη ιιιιιι οοοοοοο υυυυυυυ ωωωωωωω υα ια αευ ιε υεα ιη ωω ια ιηα ω α α ιι ιη εε ε α χαμψουρη υεαωα, Δαμναμενευς Σεμεσιλαμ· τοῦτο δὲ τὸ ζῴδιον γράφεται εἰς τὸ ῥάκος τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βιαίου καὶ βάλλεται εἰς λύχνον καθαρόν. σενσενγεν βαρφαραγγης ωηεα ιωαε. Μαθὼν δὲ ἅπαντα ἀπολύσεις δοξοποιήσας ἀξίως· ῥάνας αἵματι περιστερᾶς καὶ ἐπιθύσας ζμύρναν εἰπέ· ‘ἄπελθε, δέσποτα, χορμου· χορμου· οζοαμοροιρωχ· κιμνοιε· εποζοι· εποιμαζου· σαρβοενδοβαιαχχα· ϊζομνει προσποι· επιορ χώρει, δέσποτα, εἰς τοὺς σοὺς τόπους, εἰς τὰ σὰ βασίλεια καταλείψας ἡμῖν τὴν ἰσχὺν καὶ τὴν εἰς σὲ εἰσάκουσιν.‘ [Λαβὼν αἴ]λουρον [ἐκποί]ησον Ἑσιῆν ἐ[μβαλὼν] [τὸ σ]ῶμ[α ἐς] τὸ ὕδωρ· [ἐ]ν [ᾧ] πνίγεις, λέγε εἰς τ[ὸν] νῶ[το]ν.

3 λόγος ὁ ἐπὶ τῆς πνίξεως· ‘δεῦ[ρό μ]οι, [ὁ ἐ]πὶ τῆς μορφῆ[ς] τῆς τοῦ Ἡλίου, ὁ αἰ[λουρ]ο[πρ]όσωπος θεός, κ[α]ὶ ἰδὲ σοῦ τὴν μορφ[ὴν τὴν] ἀδικουμένην ὑπὸ [τῶ]ν ἀντιδίκων σου, [τῶν] δεῖνα, [ἵ]να ἀνταποδῇς αὐτοῖς καὶ καταπράξῃ[ς τὸ] δεῖνα πρᾶγμα, ὅτι ἐπικαλοῦμαί σε, ἱερὸν πνε[ῦμ]α· ἴσχυσον καὶ εὐτόνησον κατὰ τῶν ἐχθρ[ῶν σ]ου, τῶν δεῖνα, ὅτι ἐξορκίζω σε κατὰ τῶν σῶν ὀνομ[άτ]ων βαρβα[θι]αω [βαιν] χωω[ωχ] νιαβω[αιθ]α[βρ]α[β] σεσενγεν βαρφαραργης ............. φρειμϊ, ἔγειρόν μοι σεαυτόν, αἰλουροπρ[όσω-] πος θεός, καὶ ποίησον τὸ δεῖνα πρᾶγμα‘. κοι[νά ]. λαβὼν δὲ τὸν αἴλουρον ποίησον λάμν[ας τρεῖς,] μίαν μὲν ἐν τῷ πρωκτῷ, μίαν δὲ ἐν τ[ῷ στόμα]τι, μίαν ἐν τῷ λάρυγγι, καὶ τὸν λόγον ὑ[πὲρ τὸ] πρᾶγμα γράψον εἰς χάρτην καθαρὸν [κιν-] [ν]αβάρει, 〈εἶτα〉 τὰ ἅρμα〈τα〉 καὶ τοὺ[ς] ἡνιόχους καὶ [τοὺς] [δί]φρους καὶ τοὺς μονάτορας, καὶ περιέ[λι-] ξον εἰς τὸ σῶμα τοῦ αἰλούρου καὶ θάψ[ον] [κ]αὶ ἅψον λύχνους ἑπτὰ ἐπάνω πλίνθω[ν ζʹ] [ὠ]μῶν καὶ θῦσον, αὐ[τ]ῷ καπνίζων στ[ύρ-] [α]κα [καὶ] εὐφραίνου. ἔχε σῶμα αὐτοῦ κ[αὶ] [καταφύλαττε] αὐτὸν ἢ ἐν μνή[μ]ατι [ἢ ἐν] [τ]ῷ τόπῳ [τοῦ] τά[φου]// δῦ[σον] []ο χρώμασι[ ]. ας καὶ ταφ ... []θὲς, βλέπ[ων] [τῷ ἀ]πηλιώτῃ, χωσ[ ] [λέ]γων· ‘ἄγγε[λε ... ] [Ση]μέα χθονία ... []ονε· δὸς ἀσφα[ ] []μητε χθόνιε, [τὸν] [ἵππ]ων δρόμον [ ] ιακτωρη . ·// ἔ[χε] []· ν κατεχ [ ] [ φωκ] ενσεψευ// αρεισ[τα ] [ .... ]μοι τὸ πνεῦμα ... [ ........ τό]που δαίμονα ... καὶ γ[ε]νηθήτω μοι τὸ [δεῖνα] π[ρᾶγμα] ἤ[δ]η, ἤδη, ταχύ, ταχύ· ὅτι ὁρκίζω σε τὸ[ν τό]πον [τ]οῦτον, τὴν ὥραν ταύτην κατὰ τοῦ ἀπα[ρ]αιτήτου θεοῦ // .. θα// χωχα ειν χουχεωχ καὶ κα[τ]ὰ τοῦ μεγάλου χθονίου θεοῦ αριωρ ˊ ευωρ ˊ καὶ κατὰ [τ]ῶν ἐπικειμένων σοι ὀνομάτων· ποίησον τὸ δεῖνα [π]ρᾶγμα.‘ κοινά. ἄρας δὲ τὸ ὕδωρ τὸ ἀπὸ τῆς πνίξε[ω]ς ῥᾶνον [ἐπὶ] τῷ σταδίῳ ἢ ἐν τῷ τόπῳ, ὅπου πρά[σσει]ς· λόγος [λεγ]όμενος, ὅτε ῥαίνεις, εἰς τὸ ὕδωρ τ[ῆς] πνίξεω[ς, οὖτ]ος· ‘ἐπικαλοῦμαί σε, τῶν πάντω[ν] ἀνθρ[ώπων γ]ενέτειρα, τὴν συναναγκασαμέν[η]〈ν〉 τὰ μέλ[η το]ῦ Μελιούχου καὶ αὐτὸν Μελιοῦχον οροβαστρια [Νε]βουτοσουαληθ, ἀρκυία, νεκυία, Ἑ[ρ]μῆ, Ἑκάτ[η, Ἑρμῆ, Ἑρμε-] κάτη ληθ· αμουμαμ[ο]υτερμυω[ρ· ὁρ]κίζω σε, τὸν ἐν τῷ τόπῳ [τ]ούτῳ ἐπη[γηρ]μένον δαίμονα, καὶ σέ, τὸν δ[αί]μονα τοῦ [αἰλού]ρου πνευματωτοῦ· ἐλθέ μοι ἐν τῇ σήμ[ερον] ἡμέρᾳ καὶ ἀπὸ τῆς ἄρτι ὥρας καὶ ποίησό[ν μοι τ]ὸ δεῖνα πρᾶγμα.

3 (50) ‘ κοινά, ὅσα θέλεις. χυχβαχυχ βα[χαχ]υχ βαχαξιχυχ· βαζαβαχυχ· βαια[χ]αχυχ· βαζητοφωθ βαιν χωωωχ· ανιβω[ω]ω χωχε, [ .. ] φιωχεν γηβρωχθω μυσαγαω[θ] χεωω [ . ]ω Σαβαώθ, ευλαμωσι· ηηλαξιμα [ .... θαχωχ]αξ ϊν χουχεωχ· ἐν μὲν τῷ [αʹ καὶ γʹ πετάλῳ], ἐν ᾧ [ὁρκί]ζεις, ἐστὶν τοῦτο· ϊαεω [ ] [αεω] βαφρενεμουν οθ[ιλαρικριφθναι-] [υ]ιανθφιρκιραλιθ[ονυομενερ] φαβωεα ‘[αβλαν]αθαναλβα [αβλαν]αθαναλβα.‘ κ[ ] . ἐπ[ὶ δὲ τῷ βʹ πε]τάλῳ τιθεμέν[ῳ διὰ τ]ῶν καμ[αρῶ]ν ἐστὶν τ[οῦτο·] ‘τρεβα α[βεραμ]ενθωο[υθ]λερα εξ[αν]αξε[θρ]ελθυοωεθνε[μαρεβα]‘. καρδιακῶς, ὡς βότρυς. ‘ʼΙωερβηθ ιωπακερβηθ ιωβολχοσηθ ιωαπομψ ιωπαταθναξ ιωακουβια ιωσηθ φωκενσεψευ αρεκταθουμισακτα[ι ] πο[ίη]σον τὸ [Δεῖνα] πρᾶγμα.‘ (κοι[ν]ὰ ὅσα θέλεις) ‘ὁρκίζω σε, τ[ὸν] ἐν τῷ τόπῳ τ[ού]τῳ μὲν ἄγγελον κραταιὸν καὶ ἰσχυρὸν τοῦ ζώου το[ύτο]υ· ἔγειρόν μ[οι] σεαυτὸν καὶ [πο]ίησον τὸ δεῖνα π[ρᾶγμα] καὶ ἐν τῇ σήμ[ε]ρον ἡμέρᾳ κα[ὶ ἐν] πάσῃ ὥρᾳ καὶ ἡμέρᾳ· ἔγειρόν μοι σεαυτὸν κα[τὰ τ]ῶν ἐχθρῶν μου, τῶν δεῖνα, καὶ π[οί]ησον τὸ δεῖνα πρᾶ[γμα] (κοινά), ὅτι ὁρκίζω σε Ἰάω, Σαβαώθ, Ἀδωναί, Ἀβρασὰξ καὶ κα〈τὰ〉 τοῦ μεγάλου θεο[ῦ] ʼΙαεω (λόγος) αεηι[ουω] ωυοιηε[α] χαβραξ φνεσκηρ φιχ[ο] φνυρο[φ]ωχωβ[ωχ]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αβλανα[θα]ναλβα ακραμμαχα[μ]αρι σε[σε]νγενβ[αρ-] φαραγγ[ης] Μίθρα ναμαζαρ [α]ναμ[αρ]ια Δα[μνα]μεν[εῦ,] χευχθω[νιε]θορτοει, ἅγιε β[ασι]λ[εῦ, ὁ] ναυτ[ικός, ὁ] τὸ[ν οἴ-] ακα [κρατῶν κυ]ρίου θεοῦ· [ἔγε]ι[ρ]όν μοι σ[εαυτόν,] [αἰλ]ουροπ[ρόσω]πος μέγας, οἴακα κρατῶν [θεοῦ], ποίησ[ο]ν τὸ δεῖνα [π]ρᾶγμα (κοινά) ἀπὸ τῆς σήμερο[ν] ἡμέρας ἤδη ἤδ[η, τ]αχὺ ταχύ. συντέλεσόν μοι τὸ δεῖνα πρᾶγμα, κοινὰ ὅσα θέλεις, [κρ]αταιὲ Σ[ὴ]θ Τυφῶν, καὶ ἀνόμησον τῷ σθέν[ει σ]ου καὶ[ κα]τάστρεψον τὸ δεῖνα πρᾶγμα ἐν τῷ τόπῳ τούτῳ ..... τιοὶρι, ὡς ἂν κελεύσω τῷ εἰδώλῳ σου, ὅτι ὁρ[κίζ]ω σε Μασκελλι Μασκελλω (λόγος)· συν[τ]ελεσό[ν μ]οι τοῦτο τὸ δεῖνα πρᾶγμα ἐπὶ τῇ μορφῇ σου, [αἰ]λουρ[οπ]ρόσωπος ἄγγελος, συντέλεσόν μοι τὸ δεῖνα πρᾶγμα (κοινά) καὶ τὰ ἑξῆς γραφόμενα (εἰς ἄλ[λα]ς χρεία[ς]).‘ ἐλθὼν πρὸς κατάδυσιν τοῦ ἡλίου λέγε [κρ]ατῶν τὰς τρίχας τοῦ αἰλούρου τὰς ἐκ δεξιῶν [κ]αὶ ἐξ εὐωνύμων τοῦ στόματος αὐτοῦ ὡσεὶ φυλακτήριον. διάνυσον τῷ Ἡλίῳ λέγων τὸν λόγον. λόγος· ‘στήσατε, στήσατε, κυβερνῆται τοῦ ἱεροῦ πλοίου, τὸ ἱερὸν πλοῖον· ὁρμιῶ καὶ σέ, Μελιοῦχε, ἕως ἐγ[ὼ] ἐντύχω τῷ ἱερῷ Ἡλίῳ.

3 (100) ναί, μέγιστε Μίθ[ρα], ν[αμ]αζαρ/ αναμαρια, Δαμναμενεῦ, χευχθωνιε/ θ[ον]τοει, ἅγιε βασιλεῦ, ὁ ναυτικός, ὁ τὸν οἴα [κ]ακρα[τῶ]ν κυρίου θεοῦ θοντοει καθεν και με[νω]φρις ...... κμεβαυ κερ κερυμι, πρὶν δια [ .. ει ... εἰς τ]ὸν λίβα τοῦ οὐρανοῦ, πρὶν διαπ ............ α φεύγ[ω]ν τὰ ὕβρ 〈ισθ〉 έντα· ἐπάκουσο[ν ἐν]ευχομένου μου, ὅπως ποιήσῃς τὸ δεῖνα [πρᾶγμα], ὅτι ἐνεύχομαί σοι κατὰ τῶν σῶν ὀνομ[άτων βα]ρβαραθαμ χελουβ . αμ· βαρούχ[ ........ σ]εσενγεν βαρφαραγγη[ς] αμφιμιου[ρι] .... μιν· ποίη[σ]ον τὸ δεῖνα πρ[ᾶ]γμα (κοινά, ὅσα [ἂν θέ]λῃς)· αὐτοὶ γὰρ οἱ ἀδικήσαντές σου τὸ ἱερ[ὸν] εἴδωλον, α[ὐ]τοὶ γὰρ οἱ ἀ[δ]ικήσαντες [τὸ ἱερὸ]ν πλοῖον δ[ι]' ὅπερ ἐμο[ὶ ..... ιαλ-] [λω ..... ἵ]να ἀνταποδοῖς αὐτοῖς [τὸ δεῖνα] πρᾶγμα ( * κοινά), [ὅτι ἐπι]καλοῦμ[α]ί σε ϊωερβηθ [ιω πα]κερ βηθ ιωβο[λ]χοσηθ ϊωαπομψ ιω π[α]ταθναξ ιωακουβια ιω αμεραμεν θωουθ λε[ρ]θεξαναξ [εθρελθυο]ωθ νεμαρεβα/ ποίησον τὸ δεῖνα [π]ρᾶγμα (κοινά), ἐξορκίζω σε κατὰ τῆς ἑβραικῆς [φ]ωνῆς καὶ κατὰ τ[ῆ]ς Ἀνάγκης τῶν Ἀναγκαίω[ν] Μασκελλι, [Μ]α[σκελλω· σ]υν[τ]έλεσόν μοι καὶ ἀπόλεσον καὶ ἀνόμη[σ]ο[ν] ἐν τῇ ἐσομένῃ ἀνατολῇ, καὶ γε[ν]έσθω αὐτοῖς τὸ δεῖνα πρᾶγμα (κοινά, ὅσα θέλεις), ἤδη ἤδη, ταχὺ ταχύ· [κ]αλή σου κατάδυσις.‘ ἐλθὼν δὲ ἐν τῷ τόπῳ, ἐν ᾧ πράσσεις, ἔχων τὰς μεγάλας τρίχας τοῦ [αἰλο]ύρου τὰς ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων τοῦ [στό]ματος αὐτοῦ ὡσεὶ φυλακτήριον, διάνυσον [τῷ Ἡλίῳ] ἐν τῇ ἀνατολῇ λέγων τὸν λόγον. λόγος· ‘δεῦρό μ[οι], ὁ μέγιστος ἐν οὐρανῷ, ᾧ ὁ οὐρανὸς ἐγένετο [κ]ωμαστήριον, σατις / πεφωουθ / Ὥρα [Verba Coptica] ἀ[νά]γκῃ ποίησον τὸ δεῖνα πρᾶγμα ηιλαανχυχ· α[κα]ρβην / λααρμενθρησεν εβεχυχ ὁ ὢν φ[ιλ]ομαντόσυνος, ὁ χρυσοπρόσωπος, ὁ χρυσαυγής, ὁ πυ[ρ]ὶ καταλάμπων τῆς νυκτός, ἄλκι[μ]ος ἄ[λκι]μος κοσμοκράτωρ, ὁ πρωῒ ἐπιλάμπω[ν τῆς ἡμ]έρας, ὁ δύνων ἐν τῷ λιβι[β]όρῳ τοῦ οὐρ[ανοῦ, ὁ ἀν]ατέλλων [ἐκ τ]οῦ ἀπηλιώτου, σλ .. ιξ, [ὁ] γυροειδής, ὁ τρέχων ἕως μ[ε]σημβρ[ί]ας κα[ὶ] διατρίβων ἐν τῇ Ἀραβίᾳ μουρωφ ὁ εμφε .. ιρ, ὁ ἄγγελος τοῦ ἁγίου φέγ[γ]ους, ὁ κ[ύ]κλος ὁ π[υ]ροειδὴς περταωμηχ περακωνχμ[ηχ] περακομφθω ακ Κμηφ ὁ ἔκλαμπρος Ἥλι[ος, ὁ] αὐγάζω[ν] καθ' ὅλην τὴν οἰκουμένην, ὁ ἐν [τῷ] ὠκεαν[ῷ ὀ]χεύων, ψοειω ψοειω π[ν]ουτε νεντηρ τηρ[ου· ἐν]εύχομαί σοι κατὰ τοῦ [ᾠ]οῦ, ἐγώ [ε]ἰμι Ἀδὰ[μ προγε]νής· ὄνομά μοι Ἀδά[μ]. ποίησόν μοι τὸ δεῖνα [πρᾶγ]μα, ὅτι ἐνεύχομαί σοι κατὰ [θ]εοῦ Ἰαω, θεοῦ [Ἀβ]αώθ· θεοῦ Ἀδωναί· θεοῦ Μιχαήλ· θεοῦ Σουριή[λ· θ]εοῦ Γαβριήλ· θεοῦ Ῥαφαήλ· θεοῦ Ἀβρασάξ· [ἀβλ]αθαναλβα ακραμμαχαρι· θεοῦ κυρίου Ἰ[αι]ωλ· θεοῦ κυρίου / λαβα· φνεσκηρ φιχρο φ[νυρ]ο φωχωβωχ αεηϊουω ωυοιηεα, ὁ τὴν ἡμ[έρα]ν φωτίζων/ νεθμομαω· ὁ νήπιος, ὁ ἀνατέλ[λ]ων/ οροκοτοθρο, πυρὸς αὐξητὰ καὶ πολλοῦ φωτ[ὸς] σεσενγεν βαρφαραγγης, ἧκέ μοι, κλῦθί μ[οι, τῶ]ν πάντων δικαιότατε, ἀληθείας ταμία, δ[ικα]ιοσύνης κτίστα· ἐγώ εἰμι, ᾧ ὑπήντησάς [τε ἐ]δωρήσω τὴν τοῦ σοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεγίστου ὀνόμα〈τοσ〉 γνῶ[σίν τ]ε καὶ ἐκφώνησιν ἱεράν, ᾧ καὶ διακρατεῖς [τὴ]ν ὅλην οἰκουμένην, ποίησόν μοι τὸ δεῖνα πρᾶγμα [κοινά.

‘ καὶ] αὕτη ἐστὶν ἡ πρᾶξις τοῦ αἰλούρου περὶ πά[σης π]ράξεως· κάτοχος ἡνιόχων ἐν ἀγῶνι κ[αὶ ὀν]ειροπομπὸν καὶ φιλτροκατάδεσμον, [διάκο]πον καὶ μίσηθρον. Λαβὼν [κ]α[ρ]δάμινον ξύλον δακτύλων δʹ ποίησον .. νδε ............ κ[αὶ βου]γλώσσου [βοτ]άνη[ς] .......... νη .......... πλάσον ....... [πιττά]κιον, μέ[σο]ν δὲ αὐ[τοῦ] τοῦ πιτ[τακίου ...... ἀπ]όβαλε εἰ[πὼ]ν τὰ ὀνόματα· ‘/αν ......... σαω· ιβρ .. εισιρο .. Οὐσιρεν[τεχθα ...... ]λ, ἐξορκ[ίζω] ὑμᾶς, κ[ύ]ριοι θεοὶ .... [μὴ οὖν πα]ρακούση[τε ἐ]μοῦ· λέγετέ μοι τ[ηλαυγῶς εἰ]ς πάντα, [τε]λέ[σατε] πάντα [13] α τῆς εὐχ[ῆς] τῆς ἐμῆς κα[ .......... θέ]λον[τ]ος θε[οῦ] τα[ύτης] τῆς εὐχ[ῆς τοῦ πιττακ]ίου καί μ[ου] μεγάλ[η]ς πράξ[εως.‘ χρὴ δέ σε ἐπ]ιθύειν ἐν ........ τάδε γ[ράφε ἐπὶ χάρτου ἱερατι]κοῦ ζμυρ[νομέλανι] [] ε ... .... ολος [δρ]άκων [ ] ωτε[ ] [ ]λ ... λ ιαμ[ ] [ ]γρασωχω[ ] [] νωψιθ[ερ] θερνωψι .... ... ... . Κομπάνου τὰ ξυρὰ κόψας καὶ μίξας ὁμοῦ ἅμα μέλιτος τῷ αὐτάρκει καὶ λιπαρῷ τῆ〈σ〉 φοίνικος καὶ μάγ[ν]ητον λίθον λειώσας καὶ ἕψησον ὁμοῦ καὶ λείωσον· ποίησον τροχίσκους, ὅσους ἐὰν ἐθέλῃς, ἑκάστου [δ]ὲ εἴδους τούτων ἀνὰ οὐγγιῶν δός, καὶ χρῶ οὕτω[ς] παιανίζων τὸν θεόν· καὶ ἐλεύσεταί σοι τὸ θεῖον πρὸ αὐτοῦ σείων ὅλον τὸν οἶκον καὶ τὸν τρίποδα, καὶ τότε τέλει τὴν προγνωστικὴν τρανὴς τῇ ὁμι[λ]ίᾳ, μέχρι [ο]ὗ θέλεις, καὶ τότε ἀπόλυσον εὐχαριστῶν τῷ θεῷ. ὁ δὲ χαρακτὴρ ὁ περὶ τὸν τρίποδα· Ἔστι δὲ ἡ σύστασις τῆς πράξεως ἥδε πρὸς Ἥλιον γιν[ομένη·] ‘ἥσυχον ἐν στομάτεσσι πάντες κατερύκετε φ[ωνήν·] αἰθέρος ἀμφίδρομοι σιγὴν ὄρνιθες ἔχοιτε, σκιρτῶντες, δελφῖνες, ὑπὲρ ἁλίοιο παύεσθε, μείνατέ μοι, ποταμῶν τε ῥοαὶ καὶ νάματα ν[ασμῶ]ν, οἰωνοὶ πτηνοί, νῦν στήσατε πάντα ὑπ’ αἶθραν, ἑρπετὰ φωλειοῖσι βοὴν ἀΐοντα φοβεῖσθε, δαίμονες ἐν φθιμέν[ο]ις, σιγὴν τρομέοντες ἔ[χοιτ]ε, ἀρρήτοις ἔπεσιν κόσμ[ος] ξει[νί]ζεται αὐτός.

Σημέα βασιλεῦ, κόσμου [γενέτω]ρ, ἐμοὶ ἵλαος ἔ[σσο,] κάν[θαρε, χ]ρυσοκόμην κλ[ῄζω θεὸν] ἀθάνατόν 〈σε〉, κάν[θαρε, π]ᾶσι θεοῖσι καὶ [ἀνθρώ]ποις μέγα θα[ῦμα,] ........ πο ..... επις ...... ινον πυρεσ[ίθυμε], δέσποτα ἀν[τολίης], Τίταν, πυροεὶς ἀνατε[ί]λας, [σὲ] κλῄζω, πύριν[ο]ν Διὸς ἄγγελον, θε〈ῖ〉ον Ἰάω, καί σε, τὸν οὐράνιον κόσμον κατέχοντα, Ῥ[αφαήλ,] ἀντολίῃς χαίρ[ω]ν, θεὸς ἵλαος ἔσ〈σ〉ο, Ἀβρασά[ξ,] καί σε, αἰθέριε, κλῄζω ἀ[ρ]ωγόν σου Μ[ιχαήλ] καὶ σώζοντα βι . οσιδιω αιρ ... ὄμμα τέλ[ειον] καὶ φύσιν δείξαντα καὶ ἐκ φύσεως φύσιν α[ὖθις,] καὶ κλῄζω ἀθανάτων ... οπασηηπα σεσε[νγενβ]αρφαραγγης· παντοκράτωρ θεός ἐστι, σὺ δ’, ἀθάνατ’, ἔσσι μέγι[στος·] ἱκνοῦμαι, νῦν λάμψον, ἄναξ κόσμοιο, Σα[βαώθ,] ὃς δύσιν ἀντολίῃσιν ἐπισκεπάζε〈ι〉ς, Ἀδωνα[ί,] κόσμος ἐὼν μοῦνος κόσμον ἀθανάτων ἐ[φοδε]ύεις, αὐτομαθής, ἀδίδακτος μέσον κόσμον ἐλ[αύνων] το[ῖς] νυκτός 〈σ’〉 α[ἴ]ρουσι δι’ ἠ〈χ〉οῦς ακραμμαχ[αρι,] κα ............ κ ... [χαί]ρων ἐπίθυμα τὸ δά[φ]νου, καὶ Στυγὸς ἀδ[μήτοιο] πύλας καὶ Κῆρα λύτ[ειραν,] ὁρκίζω σε, σφραγῖδ[α θ]ε[οῦ], ὃν πάντες Ὀλύμ[που] ἀθάνατοι φρίσσο[υσι θεοὶ κ]αὶ δαίμονες ἔξοχ’ ἄρ[ιστοι] κ[αὶ] πέλαγος σιγᾶ[ν ἐπιτ]έλλεται, ὁππότ’ ἀκού[ει·] ὅ[τι] ὁρκίζω σε κατ[ὰ τοῦ μ]εγάλου θεοῦ Ἀπ[όλλωνος] αεηιουω.‘ λέγε ἔτι [τουτ]ο· ‘πέμψον μοι τ[ὸν δαίμονα] χρηματίζοντά μο[ι πρὸς] πάντα, ἅπερ ἐπι[κελεύο-] μαι αὐτῷ ἐννέπε[ιν,‘ καὶ ἐκ]πράξει. ἔστ[ι καὶ] ὕμ[ν]ος· ‘Μέλπω σ[ε], μακαρ[ .... ]ώνιε χρησμου[ ] πάνσοφ[ε], Δηλει[ ...... ]ωλετόκτυπε, Δωδών[ης μεδέων] ..... ους Παιάν, [κλ]ῄζω σε .............. ολαδοιο . στιβ . ς ............... ν ἔχων θεω .. [] αξ .. ων .... [] []αὐτοκρά[τωρ ... ] [ ]ων κ ...... ουφας .... δενδ ... φοιτα σικαι μη χως ........... μιση .. ὦ μύρνης δένδρο[ν .......... ] Λυκει ... παυσάσθω αὔξηθ ............ μεῖζο[ν] φῶς· μέλλει γὰρ πευ[ ............. ] θείω[ν ἐ]κ στομάτων τινὰ ...... [ἀνε]γεῖραι τῷ πλήκτρῳ τὸν μάν[τιν .... ]σων ... ν ... μόλε, δεῦρ’ ἴθι, μάντι, χάρμ[α φέρων, Σ]μινθεῦ, χ[ρ]ήσα[ς] κλύε, Πύθιε, Παιάν, ὄρπηξ[ .

...... ]ε χαίροις, δελ ... σὸν γὰρ πρώ[τ]η Φοῖβος εκρυ ... μεχε εναλιω Μουσῶν δ[ά]φνας σὺ κλάδ[ους, Φ]οῖβε, σίεις ωσκαιλωδ . ν σε τότ’ ἐκ Δελφ[ῶ]ν ὑμνοῦσι θε ... ὦ [φ]ωναῖς θείαις ὦ χρης ....... ωσα α ... ειχωχω οὐροδρόμε, [σεισ]ίχθων, φώσφω[ρ,] ἐλ[θ]ὲ ἱλαρὸς καὶ ἐπήκοος τ[ῷ] σῷ προφήτῃ.‘ Ἀπόλυσ[ις]· ‘σπ[εύ]σεις, ὦ ἀεροδρόμε Πύ[θιε] Παιάν, ἀν[α]χώρει [ε]ἰς τοὺς σοὺς ο[ὐρ]ανοὺς κα[τα]λιπὼ[ν] ἡμῖν ὑγίεια[ν μ]ετὰ πάσης εὐχα[ριστίας,] εὐμενὴς καὶ ἐπήκοος, σα[φ]ὴς θώραξ, κα[ὶ] ἄπε[λ]θε εἰς τοὺς ἰδίους οὐρ[αν]οὺς καὶ ἐπενδ[ήμει.‘] Πρόγνωσις· λαβὼν σεαυτοῦ δάκτυλον [ὑ]πόθες ὑπὸ τὴν [γλῶσσάν] σου, πρίν τινι λαλήσῃ[ς], καὶ λέγε ταῦτ[α] μετὰ τοῦ μεγ[άλου ὀνόματος ὅ]τι· ‘ποίησόν με προγνῶναι [τ]ὰ κατὰ ψ[υχὴν ἑ]κάστου, σήμερο[ν, ὅτι ἐγ]ώ εἰμι Τομ[ ] Ἰάω, Σαβαώθ, Ἰάω [θ]ηαηηθ ........ μ Ἀδουναΐ· βαθ[ιαω ... ]ηα θωη ϊαβραβα αρβαθρασ[ . ]ω· βαθιαω[ωια ζ]αγουρη βαρβ[αθιαω . ]αηι [ααααααα εεεεεεε ........ ωε .......... σοεσησισιεθ .... Σ]αβαὼθ ιαεω (λόγος).‘ ἐὰν ἐθέλ[ῃς, προ]γνώσῃ [πάντα, .... τὸν δάκτυ]λον ἔχων ὑπὸ τὴν γλῶ[σ]σάν σου κατ’ [ἐπιταγὴν καὶ λέγων] πρὸς ἥλιον τοῦτον τὸν λόγον. ἔστιν δ[ὲ] ὁ λόγος· ‘κύριε, εἰ [θέλεις με προγνῶναι, καταβά]τω ἱέραξ ἐπὶ τὸ δένδρ[ο]ν.‘ εἰ γὰρ οὐ γίνεται, ἐ[πί]λεγ[ε κ]αὶ το[ῦτον τὸ]ν λόγον τοῖς τέσσαρσ[ι]ν ἀνέμ[ο]ις κυκλεύ[ων πρὸς] ἄνεμον, ὅτα[ν ἐπ]ιλέγῃς [τ]ὸν λόγον, καὶ λέ[γε] πρὸς ἥλιον τὸ ὄνομα μέγα ‘[ ....... ‘ κ]αὶ τὸ μέγα ὄνομα ‘ ..... αωθ [Σ]αβαώθ.‘ λόγος ἐ[στίν, ὡς] ἐπάνω. [ Κύκλο ς]· σελήνη ἐν[ ....... ἢ π]αρθένῳ πανάλ[ωτον, π]οίει λεκαν[ομαντεία]ν, ὡς θέ[λε]ις, ἐν [καρκίνῳ πα]ραιτίαν, ἀερομαντεῖο[ν .... ]ς, ἐν διδύμο[ις καθά]μματα [ ...... ἐν] ζυγῷ πρόσκλ[ησιν .... ]νων ἀπόλυ[σιν ...... ν]εκυομαντ[είαν,] ἐν ἰχθ[ύσιν ......... ]οιω ἢ ἀγώγ[ιμον], ἐν τοξ[ότῃ ἐπι]τηδίαν, [ ............. ἐν αἰ]γοκέρῳ ἱκα[νόν ...... ] ἐν [ ] [ ] ... λ . ιω ιας ............ ἀψευδ .......... ..... ν ἀρρήτοις λόγοι[ς .... ]αμέτρῳ ........ [προ]γνωστικὴ πρᾶξις πᾶσα[ν ἐν]εργίαν 〈ἔχουσα〉 καὶ [πάντα τὰ πά]θη ποιήσα〈σα〉 κλιτά. ἐν βυθ[ῷ ..... ] ποταμ[οῦ ἢ ἐ]ν τύμβ[ῳ ..... ] καταβὰς εἰσανάβαλλε [ .... ]ραπεια σπ .... μίτω ω .... [τὸ] πάθος παύεται, καὶ ὅτι [ἂν β]ούλῃ, πεύσει. [λέγε δὲ οὕ]τως· ‘διατέλει ἀψευδῶς, κύριε, [ὕπ]αρ πάσης πρά[ξεω]ς πρὸς ἐπιταγὴν ἁγίου πνεύματος, ἀγ[γέλ]ου Φοίβο〈υ〉, χα[λίφ]ρων ταύτα[ις] ταῖς μολπαῖς καὶ ψαλμ[οῖς.‘] ἡ δὲ κατασκε[υὴ τῆ]ς ἐνεργείας· αὔτοπτον θὲς τρίποδα καὶ τράπεζα[ν ἐ]λάϊνον ἢ ἐκ ξύλου δαφνῶν καὶ [χ]άραξον ἐπὶ τὴ[ν τ]ράπεζαν κύκλῳ τοὺς χαρακ[τ]ῆρας [τ]ούτους· [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] καὶ σκεπάσα[ς] τὸν τρίποδα σινδόνι καθαρᾷ ἐπίθες τῷ τρίπ[ο]δι θυμιατήριον καλόν. ἔστιν ἐπι[θ]εῖναι τῇ τραπέζῃ [ὑπ]ό[κε]νον Ἀπόλλωνα ἐν ξύλω [δ]άφν[ης] ἐγγράψας ἀ[νὰ λάμναν] χρυσῆν ἢ ἀργυρᾶν ἢ κασσιτ[ερί-] νην τοὺς χαρακτῆ[ρα]ς τούτους· Θ ς [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] καὶ ὑπόθες τὴν λ[άμ]ναν ὑπὸ τὸ θυμιατήριον κα[τὰ] ξόανον, ὃ ἔκτιστο ἅ[μα το]ῦ θυμιατηρίου, καὶ παράθες π[αρὰ] τὸν τρίποδα δέπασ[τρο]ν ἢ κόγχην ἔχουσαν ὕδωρ κα[θαρὸν] καὶ ἐπίγραψον ἐν τ[ῷ] ἐδ[ά]φει μέσον τοῦ οἴκου περὶ [τὸν] τρίποδα λευκῇ γρα[φ]ίδι τὸν ὑποκείμεν[ο]ν χαρακτῆρα[ . [305]

3 (300) ] δεῖ προαγνεύειν ἐ[πὶ] ἡμέρας τρεῖς. ἔστω δὲ ὁ οἶκος καὶ ὁ τ[ρίπους] [ἐν]ημμένος. [ἐὰν ἰδεῖν θ]έλῃς, ἰδὲ ἔσ[ω]· ἔχων ἐσθῆτα [λευ-] [κὴ]ν καὶ καθαρὰν καὶ [ἐστε]μμένος δ[α]φ[ν]ίνῳ στεφ[άνῳ,] ὃν ἐπὶ τῆς κεφ[αλῆς ἔχει, θε]ὸς ἱλ[αρὸς καὶ ἀ]ρτεμισίας μ[ονοκλώνου] [κλ]όνον προμα[ντευόμενος] ..... οσδ[ ........ πρὸ τῆ]ς ἀνακλήσ[εως] [αὐ]τῷ ἐπίθυε δά[φνην] ... οσμε ...... [ἐπὶ τοῦ ἐ]πιθύματο[ς] [πα]ιανίζων τὸν [θεὸν εἰ]ς ἀν[ατολὴν ... σου αἰτοῦ θ[ ... ] ... οκ ..... δετω ..... [καρδ]άμωμο[ν ... ] .... το ... ἅγιος θεὸς [ 9] ἄ]νθος ἀμυ[γδά-] λεον αγμα βραθ .... ἀπὸ βαλσά[μου ... ] ....................... ιον κ ....... ........... νοης ..... η .... καὶ λαβὼν κρο ....... ............ ης ζ’ καρ ...... σιν τῇ ἐπινοίᾳ μου [τοῦ δεῖνα ..... ] [ ...... χρυσ]ανθέμου λαβὼν ἀπογεύου ἀνα ..... [ .......... τε]τραπόδων ..... ἔστι δὲ ὁ λόγος ὁ διωκόμενος ..... .......... ἐὰν βούλῃ [εἰδέ]ναι, λέγε ταύτας τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν ταῖς ..... .......... θεοῦ καὶ πάν[των] τῶν τοιούτων μαντικῶν [ ......... σ]κώληξ ἐν [ ... ] ὥστε ἐπὶ ἡμέρας δέκα. μίξας ... ..... τὴν καρδίαν [σὺν] μέλιτι . κατά[λεξο]ν πρὸς ἀνατολὰς ἡλίου λόγον τοῦτον [καὶ] ἔσῃ καθ’ ὥρα[ν καὶ κα]τὰ τὴν ἡμέ[ραν ταύτην] προγινώσκων. [θυσ]άμενος σπένδε οἴνῳ μέλ[ανι ... ]αμ ειου ιδου μέσον ι .. ... θος λέγε· ‘ποίη[σό]ν με προγιν[ώσκ]οντα ἑκάστης τῶν οὐσϊ ... ἀπὸ πατρειω ... η καὶ καταπο ... πρὸς ἀνατολὰς ἡλίου πρωὶ [γινώσ]κειν ἕκαστ[ον τῶ]ν ἀνθρώπων [καὶ] προγνῶναι 〈ἃ〉 κατὰ ψυχὴν ἔχει [καὶ] οὐσίαν πᾶσαν αὐ[τῶν.‘] [μον]όγονον ἀρτεμ[ισίαν], μονόκλωνον, ἡλιόγονον, σεληνόγονον .... ωϊβ .. την μ .... γιαν, λωτομήτραν, κρινάνθεμον, βούνιον [προσδόκ]ησον ἐν τῇ σῇ οἰκίᾳ νήστης ἀνατολὴν ἡλίου. ἀν’ ὥρα(ν) τρίτην δακτύλου .... .... τισον [τὸ σὸ]ν πρόσωπον εἰπ[έ· ‘Θ]ωού[θ] πιωπιω αυαψ Θωούθ .. αρς ... κενον ωουν παχεν νο . τοου η . τ αρσασωτα υνασπορ .... θα π . μνηφιελωκνημεω δός μοι ἐ[κ τ]ῆς σῆς ἀπορροίας.‘ [εἰς τ]ὴν ἀνατολὴν τῆς Σελήνης τριακονθήμερον [λέγε·] ‘ἐλθέ μο[ι, μ]έγισ[τος] [ἀ]ρχάγγελος, ἐλθέ μοι ξασρ· ξαμ [Θω]ούτ .. ἐλθέ μοι, τύραννε [τῆ]ς οὐσίας ημι ... θη . βα Θωούθ· θεωρει .. ενην παυπιου ψιβιοαυ [α]βλαναθανα[λ]βα . αμοαμμα πρόσθ[ες] μοι, τῷ δεῖνα, μνήμην .... σω .. πά[ντα] ἀναγνῶ καὶ ἐπ[ί]στωμαι τὰ ἐπὶ τὸν της ....... ‘ ... νην[ .. πρ]ὸς ἡλίου ἀνατολὰς μασης ... λέγων οὕτως· ‘ἐγώ εἰμι [ὁ κύρ]ιος τῆς θαλάττης, ποίησ(ον) ἅπαντ[α .. ]κεντρισμα γορθιωοι [μέλλ]οντα πάντα, (ἵνα) γινώσκω μετὰ πρόγ[νω]σιν· τοῦτο χρηματίσαι [κ]αὶ τὰ ἐνθύμ[ια] ἁπάντων ἀνθρώπ[ων] καὶ τὰ μέλλοντα .. τωουτ· ανγ· . σα . ουτ· ανγ· εμ ης ... ομ ν ανγ· αλαβουλ‘ .. .. ἀνὰ ὥρα(ν) δεκάτην α . ν . ν. ἀτρεκ[έως] ... ιε πεκρεν εμ .... .... ονηϊ ε . πο .. νγα λ .... κορα ἐχοντο .. . [345]

3 (350) .. νεωστὶ αι ....... απο ..... καὶ ἅμα ἀνατο[λῇ] .... τρίτην ....... να ...... τὴν ἐπάνω ν ... .... αποπυι ....... ηλε ....... δυνη[ ] [ .. ἅμ]α ἀνατολ[ῇ ..... ]μον ....... ‘χωλωμ χωλ ... ... ητειαστ ........ τουτ .. επιρεν .. ς μασκελ[λι μασκελλω] .. ιθηχθω ....... τενιμερ ἄ[να]ξ κύρι[ε ..... ‘] .. ἀπὸ της φυ ....... ἅμα .. ἥλιος .. οντα α ...... ... επακουη ....... ον καὶ ἐπὶ . . κηι ...... [ ... ἀν]ατολ ....... λεγε .. πετειν .......... ........... ἔτι ζῶντα .......... ........... αμ ............. ........... ε .............. ... ἄλειφε ........... αβλα[θα]ναλ[βα] ... τεμ ... σομης ..... κατὰ β′ λόγο[ν ............... ]ητιω νικα[ ... ἀ]νατο[λῆ]ς ἡλίου ζ′ . ειν ... .. αλιου αντ[ .......... ]ε μοι θυμοκα ...... ἔχεις. ἐὰν δὲ θέλ[ῃς ........ ] φάρυγγος ὄνων ισα ...... τοῦ ζώου κοιν ...... οὐρᾶς λ ......... κως πυκνότερον κ[αταλ]έγων τὸν ἕβδομον λόγον κα[ι .. ] ἅπερ ἂν β[ούλῃ ..... ] ἀπὸ κεφαλῆς ἀνθρώπ[ου] θ .. ησδια τουω .. συ ἐκβαλε[ ...... τὸν λόγον], οὗ ἡ ἀρχή ἐστιν· ‘γινώσκ[ειν] με ποίει, ἵνα ... ε ... περιπα ... ωρπ [Idiosyncratic Papyrological Character] ρα .......... πάσης τὸ οὖς ὅτι ἐὰν ... ἐπὶ γῆς ....... οὐρ[ανοῦ] [τ]ὴν ἀρ[χὴν ........ ] τὴν χεῖραν κατὰ ... εκοντα ἐν ... κας ... ν λόγο[ν.] [ἐ]ὰν δὲ θ[έλῃς ...... ]ς κα[ὶ ἐ]πιστολὴν γεγραμμένην κατεσφραγισμένην [ἀνα-] [γν]ῶναι .... χει ... ον ης .. τὸν αὐτὸν ζ′ λόγον· ‘ποίησόν μοι τὰ γεγραμμέν[α] .. ηλυσα .... λης . ου.‘ εἰς τ[ὴν ἀ]νάγνωσιν τῶν γε[γ]ραμμένων· λαβὼν ἐν ἀν[ατολῇ] [τ]ῆς σελήνης ο[ ... ς] γλυψας ι .. μελικηρίδος τόμους. τού[τ]ους συνέμβαλε ... .. λικν ..... και σαπαιαν π[ρ]όσφατος ἡστὸς μακαρίστως ὡς προγνω ... . ασδενεα . .. μετὰ τῶν γε[γρ]αμμένων μ[ί]ξας πάνυ· [κατὰ] π 〈ᾶ〉 σαν δύναμ[ιν] [κ]αθ’ ἡμέρ[αν ...... ]ων μη ταμελα[ .... λ]έγῃς πρὸς ἥλιον τρωσαι λέγε [καὶ] τὸν προκείμενον ... [ .. λόγον τῆς ἡ]μέρας τόνδ[ε, κ]αὶ ἐκείνην τὴν ἡμέραν [ ... ἀ]νὰ ἥμισυ τοῦ ᾠοῦ ... .. ετα τοῦ ... ἔμβαλε εἰς κωθ[ώ]νιον καὶ γυψώσας τὰ ᾠοῦ ἐν τόπῳ ἢ ἐν ποταμ[ῷ] [ὅ]που ἥλιος ι[ .......... τ]οῖς ἀλόγοις καὶ ἀ[νθ]ρώποις ἀβάτως γίνεται ... λουσάμενος καὶ .... .. ωον θυ[ ... ἐ]στεμμένος στέφα[νο]ν ἀνθῶν τῶν τοῦ καιροῦ ...... αδα ..... . οντ[ . ε]ἰς βωμόν, ἐπιθύσ[ας] ἐπὶ τῷ βωμῷ [λ]αβέ, ὡ[ς οἶδας], γ ἄρτους καθάρι[ος ... ] .. λιεν τ ... ιοις ἔλαιον ὁμοί[ω]ς ὡρ(α)ῖον οἶνον ο .. ην ...... ποι καὶ γάλα βοὸς μ[ελαίνης·] [ἐν ἀ]ρίσταις χλαμύσιν τῶν κυ[κλ]οφόρων καὶ δια .. ερων ... την πρ ... ιν ... [ὑπ]οκείμεν[ον]. ψήσας πρότερον .. τὸ ἥμισυ τοῦ ᾠοῦ πυ ... σοι τὸν κύριον μεστο ... . ρυσον τα .. α .. ἅπαντα .. ον καὶ τὴν οὐσ[ί]αν .... καὶ εἰπὼν τὸν ὑποκείμενον [λόγ]ον τοῦτον τὸν ζ′ πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἥλιον οὕτως ἀπ .. υχο ..... εἰς κωθώνιον ἱερὸ[ν] .. αυτο κα .. ἀπελθὼν καὶ θυσάμενος πε .. μιου ... λέγε καὶ πρὸς ἥλιον .... [πρ]ογνωστι[κὸ]ν λόγον ἢ ὕμνον απας εταιρος [μονόκ]λωνο[ν] ἀρτεμισίαν εἰς ν ... ......... λέγων ἑπτάκις . καρδάμ[ωμον] λαβὼν κα[ὶ τ]ὰ ὀνόμ[ατ]α ἅγια λέγων ἐπι .... [‘ ... ἄ]νακτος ἅ[π]αντα γάρ ἐστι .... ‘ ὅταν ὁρκ[ίζῃ]ς τὴν γαῖαν λέγων τὸν ἕβδομον [λόγο]ν [εἰς τὴν] γῆν καὶ [ἅ]παντας τοὺς [θεοὺς] ἀθανάτου[ς. λ]όγος οὗτος· ‘ἧκέ μοι, κύρι[ε .... ] [ἅγι]ον πνεῦ[μα‘ ... ] ὥρᾳ ἐνάτῃ ...... παντ ... το ους μετὰ τοῦτον τὸ[ν λόγον]· ‘ὁρκίζω [το]ὺς αὐτοκρ[ά]τορας ............ καὶ ὁρκίζ〈ω τὴν〉 γῆν καὶ τὸν οὐρανὸν κα[ὶ τὸ φῶς κα]ὶ [τ]ὸν π[άντα κτίσαντα‘ .... λό]γος λεγόμεν[ος] τοῦ θεοῦ. λέγων λόγον [τοῦτο]ν [πρ]ὸς ἱερὸν ........... [Verba Coptica] λαβης ε ... λαβης αυ[ ] [Verba Coptica] (30) [Γ]αβριήλ, Μιχαήλ, [Verba Coptica] ζ′ λέγεις εἰ[ς .... ] λέγειν εἶτα ἅπαξ ἢ γ′. Λαβὼν λεπίδαν ἀργυρᾶν ἔνγρα[ψον κα]ταδύντος [τ]οῦ θεοῦ καὶ λαβὼν γάλ[α] βόειον καὶ καταχεάσα[ς] καὶ ὑποθεὶς καθαρὸν ἄγγος ὑπόθου τὴν [λ]επίδα καὶ βάλε κρίθινον ἄλευρον καὶ φύρασον καὶ πλάσον ἄρτον, [π]έμματα, δώδεκα κόρας κα[ὶ ἐ]πίλεγε γ′ κα[ὶ] φάγε νήστης καὶ γ[ν]ώσῃ τὴν ἐνέργειαν. (ἔστι) δέ· ‘βορκα βορκα φριξ φριξ ριξ ω[ ]αχαχ αμιξαγ ουχ θιπ λαι λαι λ[α]μλαι λαι λαμ μαιλ αααααααα ιιιυ ηι αι ω[ω]ωωωωω μουμου ωυιω νακ νακ ναξ λαινλιμμ λαιλαμ αεδα. λαιλαμ αηω ωαη ωαη ηωα αωη νωα ωηα εἴσελθε, δέσποτα, ε[ἰ]ς τὴν ἐμὴν ψυχὴν καὶ μνήμην μοι χάρισαι μ̇μ̇μ̇ η̇η̇η̇ μθφ.‘ τοῦτο ποίει κατὰ μήνη[ν] πρὸς σελήνην ἐν πρώτῃ ἡμέρᾳ. προσκύνει [θε]ᾷ, τὴν δὲ λεπίδα περιθοῦ. ἔστι δὲ τὸ ὄνομα τῆς ψυχῆς τοῦ θεοῦ· ‘ [Verba Coptica] εἶτα [Verba Coptica] αἷμα.‘ γράψον χαλκῷ γραφείῳ ταῦτα· [verba coptica] λέγε εἰς τὴν χεῖραν ἑπτάκις ἀντὶ τοῦ ἡλίου, κατ[ά]ψησον τὴν ὄψιν, πτύε, μετακίνησον τὸν ἀντίχειρά σου ἀπὸ τῆς ῥινὸς ἄχρις τοῦ μετώπου σ[ου.] πρὸς ἥλιον εἰπὲ ἑπτάκις εἰς τὴν χεῖράν σου καὶ πτύσον α′ καὶ καταψήσας [τ]ὸ πρόσωπόν σου πορεύου ἐπὶ πρᾶξιν καὶ χάριν· ‘σιλιβαναγουναχαουηλ ..... ‘ Ἀντίγραφον ἀπὸ ἱερᾶς βίβ[λο]υ. πρόγνω[σ]ις καὶ μνημον[ική]· λαβὼν κάκουφ[ον,] ὅ ἐστιν αἰγυπτιστὶ κακκου[φατ, ἐξάρα]ξον αὐτῆς τὴν καρδ[ίαν, κ]ατάτρησον καλάμῳ καὶ τὴν καρδίαν κατα[τα]μ[ὼν] ἐπίβαλε εἰς μέλι Ἀττικ[ὸν π]λησιαζούσης τῆς θεοῦ καὶ εἶτα τρίψας τὴν καρδία[ν τῇ] α′ τῆς θεοῦ σύμμιξον τῷ μέλι[τι καὶ κατάφαγε] νήστης λέγω[ν] ἑπτάκις, ἅπαξ γευόμενος τῷ λι[χανῷ τῷ δ]ακτύλῳ, τοῦτο[ν τ]ὸν λόγον· ‘ποίη[σόν με π]ρογνῶναι τὰ μέλλοντα καὶ τὰ προμέλλοντα κα[ὶ πεπ]ραγμένα καὶ π[ά]ντα 〈τὰ〉 ἔργα τῇ σ[ήμερ]ον καθάπαξ.‘ ἑπτάκις τὸ ὄνομα λέγε, αἶψα λέγων κοινά· τῇ τρίτῃ ἀπογε[υόμενος λ]έγε τὸ ὄνομα Λαιλαμ [σαν]κανθαρα, κοινά. [τῇ] σελήνης δ′ 〈τὸ〉 δ′ ὄνομα λέγων επι μνω, τῇ ε′ τὸ ε′ ὄνομα λέγων ἑπτάκις εκενθ .... [τῇ ϛ′] τὸ ἕκτον ὄνομα Ἀμοῦν [Ἀ]μοῦν, τῇ σελήνης ζ′ [τὸ ζ′ ὄνομα . ]ρα πρεγξιχαροθ. τῇ η′ τὸ η′ ὄνομα· [ ε]ἶσι Οὔσιρι [Ἀ]μοῦν [Ἀμοῦν, τῇ θ′] τὸ θ′ ὄνομα φορ[φ]ορβαρζαγρα, [τῇ ι′ τ]ὸ ι′ ὄνομα ζαζουχωρ δαμνιοτη, τῇ ἑνδεκάτῃ τὸ ἑνδέκατον ὄνομα χρυσα χρ[υσα] ευαε χρυσοες ειρε χρυσοεγεθρελ .... ρον, τῇ δωδεκάτῃ τὸ δωδέκατον ὄνομα, δωδεκάκις γευόμενος· αθαβ .... ενιγραψαθιρ .. ψανο . αση, [τῇ ιγ′ τὸ ιγ′ ὄνομα λέγων]· Ἄρτεμι Δαμνω δαμνο λύκαινα, τῇ τετάρτῃ καὶ δεκάτῃ τὸ [τέταρτον καὶ δέκατον ὄνομα] λέγων. τοῦτο τὸ ὄνομα ιδ′· Ἀρπον[χνουφι] βριντατηνωφρι βρισκυλμα ορεοβαζαγρα. τῇ [πέμπτῃ καὶ δεκάτῃ τ]ὸ πέμπτον καὶ δέκατον ὄνομα· σεσενγεν βαρφαραγγης αγαβ ..... αεηιουω, κοινά, ὅσα θέλεις, λέγων καθ· ἡμέραν. εἶτα [φθινο]ύσης σελήνης λ[έ]γε ἐν ἑξαμέτρῳ τόνῳ τ[ὸν λόγον] λέγων ἑπτάκις ἕως πάλιν τῇ τετάρτῃ καὶ δεκάτῃ τῆς θεοῦ. [ἐ]φόρα δέ, μὴ συνέλθῃ[ ..... ἑ]κάστην ἡμέραν ταιουλ .. αγιον [ ... κ]αὶ λυθῇ πᾶσα σύστασις τῆς ἱερᾶς συνθέσεως. λέ[γει γὰρ ὁ] κύριος [θέος. τῆς] πράξεως ταύ[της] μείζων οὐκ ἔστιν. πεπείραται ὑπὸ Μανεθῶνο[ς, ὃς αὐτὴν ἐ]λάβετο [δῶ]ρον ὑπὸ θεοῦ [Ὀ]σίρεως τοῦ με[γίσ]του. τέλει, τέλει εὐτυχῶς καὶ εὐφήμως. λόγος λεγόμεν[ος ................... καὶ τελ[ ....... τ]ῷ ἡλίῳ· ‘χαῖρε, αὐτοκράτωρ, χαῖρε, χαῖρε, προ[πάτωρ ............ καὶ Δαμναμ]ενεῦ/ [Ἀβρα]σάξ .... κ .. ηληλ εἷς ἱερὸς ... κ ..... ς σαβηλε σαβηλε κα προγνως. [23] Μωυσῆς αν .... σις καὶ ἀπος ......... κ ...... ..

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αι[ ............. εἰ]ς μνήμη[ν λέγε τ]ὸν ὑποκείμε[νον λόγο]ν ἑκάστης [ἡμέρας] (22) .... ιμεα .... Ἀβρασάξ, ........ εἰ]δέναι οειιαο ... κα ............ Ἰάω Σαβαώ[θ ...... ] μέγας ........ Ἰαβε[ζεβυθ] [ 21 Ἀ]βραξας ταε.‘ ..... [32] σι .

ν .. μ . [] [] οὕτως δὲ ζωγράφει παῖδα καὶ σε [17] [ὕ]στερον, καὶ ἀκούσεις τὰ ὄρνεα λαλοῦ[ντα ............... ] μαράθου ζʹ καὶ σησάμου, μελανθίο[υ .............. ] λ(αβὼν) ταῦτα τρίψας σὺν ὕδατι πηγαίῳ ..... τῆς σελήνης οὔσης δευτέρας, καὶ ἀκούσεις πάν[τα ............. ] ἐγώ εἰμι ιεη ιοεη ιε Ἰάω Ἶσι [τὰ ἐν ταῖς] ψυχαῖς τῶν ἀνθρώπων, ὅτι ἐγώ [] ἐπεύχου αὐτῷ. ἄλλ [] γίνεται δε χελιδὼν τούτου ............... σου τὸν λόγον τοῦτον ἑπτάκις κατά[λεγε ........ ] λόγος, ὃν λ[έγ]εις· χαῖρε, Ἥλιε Μίθρα λ[ ........... ἀπο]ροῦντος, [α]ὐτῷ ἱερῷ ὕδατι ωσε ............ ..... κ[α]τὰ ψυχὴν ἔχει οὗτος ............ ἐκείνην τὴν ἡμέραν γινώσκ[εις ..... ] παραπτόμενος δὲ ἡμιτριτα[ῖον πυρετὸν ἕξεις.] Μνημονικ ή . λαβὼν πρῶτ[ον μὲν ...... ] κυνοκεφάλια β , Ἑρμοῦ δακτύλο[υς ............. ] ανα κ[αὶ δ]ιακον[ .............. ] γεύου τρὶς λέγων πρὸς Ἥλιον προσκύ[νησον· ‘εἴσελθε,] μα .. α Κμήφ· αρσω αρσω Θοΰθ ........................ ο τιοι ε . οι πομπομ Φρῆ ιαρβ[αθα χραμνη ... ] ἐπὶ [τ]ὴν ἐμὴν καρδίαν, μνή[μην χαρισάμενος] τῇ [ψ]υχῇ μου, τοῖς ὄμμασι σαλβα[ναχαμβρη ........ ] τυραννῶν, ὁ κυριεύων πά[ντων .......... ] αβλαν οοοο αδωνιη αηω ............. ἵνα, ὅσα ἐὰν ἀκούσω ἅπαξ, μν[ησθῶ ἐπὶ τὸν τῆς] ζωῆς μου χρόνον.‘ Πρόγνωσις · λαβὼν κυνοκεφάλια υ[ .. λέγε εἰς] τὸ ὕψος τοῦ οὐρανοῦ κύκλου· ‘ὁ φὼρ τῷ[] νομυρον, ὁ μόνος μέγας θεός, δ[εῦρό μοι] ἀπὸ συνόδου ἐπὶ ἡμέρας ςʹ γνως ... γενέσθαι, Ἥλιε. ἄλλη ἀντ [ ιγραφή · ....... ] αλα . αανγ· ξιχα μιχα· ανγ· ε ...... εροτπιτενφητ· νπρωμε ἔ[χων στέφανον ἐπὶ τῇ] κεφαλῇ [χ]ρυσοειδῆ, γενοῦ εἰς τ[ὸν φῶρα ἄραντα τὸ δεῖνα], ἀπόλεσον, σχίσον αὐτὸν καὶ κε ............... διω .. δ . ἐὰν δὲ ἀποκεφαλίσῃ[ς ............. ] ἄλλη · λαβὼν πτέρυγα τ[ὴν .................. ] αωω . εἶτα κατὰ τῆς αὐ[τ]ῆ[ς ................ ] λω[φνου] κεντ Ἀβαώθ ............. δο ..... . ωλεαις ................... κα .......... τα κ .................. ‘ [ Σύστασις πρ]ὸς Ἥλιον. περὶ πά[σης πρ]άξ[ε]ως καὶ περ[ὶ π]άν[τω-] ν ποί[ησις], περὶ ὧν ἐὰν θέ[λῃ]ς, οὕτως ἐπικαλοῦ· ‘[δεῦ]ρο, δ[ε]ῦρό μοι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ κόσμου, ἀεροδρόμο[ν] μέγαν θεόν, ἐπάκουσόν μου ἐν παντὶ ᾧ [ἐπιτελῶ] πράγματι καὶ ποίησον πάντα τὰ τῆς εὐχῆς μ[ου ἐντε]λέστατα, ὅτι οἶδά σου τὰ σημεῖα καὶ τὰ [π]αράσ[ημα καὶ μ]ορφὰς καὶ καθ’ ὥραν τίς εἶ καὶ τί σου ὄνομα· ὥρᾳ πρώτῃ μορφὴν ἔχεις καὶ τύπον παιδὸς πιθήκου· γεννᾷς δ[ένδρο]ν ἐλάτην, λίθον ἄφανον, ὄρνεον ε .

... αενο ..... α, ὄνομά σοι φρουερ· ὥρᾳ δευτέρᾳ μορφὴν ἔχεις μονοκέρου, γεννᾷς δένδρον περσέαν, λίθον κεραμίτην, ὄρνεον ἁλούχακον, ἐπὶ γῆς ἰχνεύμονα, ὄνομά σοι βαζητοφωθ· ὥρᾳ τρίτῃ μορφὴν ἔχεις αἰλούρου, γεννᾷς δένδρον σύκων, λίθον σαμοῦχον, ὄρνεον ψ[ί]ττακον, ἐπὶ γῆς βάτραχον, ὄνομά σοι Ἀκραμμαχαμαρει· ὥρᾳ τετ[άρ]τῃ μορφὴν ἔχεις ταύρου, γεννᾷς δένδρον [κα]ὶ λί[θ]ον παιδέρωτα, ὄρνεον τρύγονα, ἐπὶ γῆς ταῦρον, ὄνομά σοι Δαμναμενεύς· ὥρᾳ πέμπτῃ μορφὴν ἔχεις λέοντος, [γε]ννᾷς δένδρον ῥάμνον, λίθον μάγνητα, 〈ὄρνεον ..... 〉, ἐπὶ γῆς κ[ρο]κόδειλον, ὄνομά σοι φωκενγεψ ευαρεταθου μισον κταικτ/ ὥρᾳ ἕκτῃ μορφὴν ἔχεις ὄνου, δένδρον γεννᾷς ἄκανθαν, λίθον σάπφειρον, ἐν θαλ[ά]σσῃ ὕελον, ἐπὶ [γῆς βοῦν λευ]κομέτωπον, ὄνομά σοι ειαυ· ακρι λυξ· [ ... ὥρᾳ ἑβδ]όμῃ μορφὴν ἔχεις καμ[μάρου, γε]ν[νᾷς δένδρον ........... [γεν-] νᾷς .............. προ[ ...... λί]θον ἡλιο[πάλιο]ν, [ὄρνεον .... ]ον, ἐπὶ γῆς [αἴλ]ουρον, ὄν[ομά σοι ..... ] [ ...... ὥρᾳ ὀγ]δόῃ μορ[φ]ὴν ἔχεις ......... [γεννᾷς δένδρον ...... ]ατορον, λ[ίθ]ον ονου ειορ ... , ὄρνεον [ .... ἐπὶ γῆς] ἱπποπό[τα]μον, ὄνο[μά σοι ... ] [ ....... ὥρ]ᾳ ἐνάτῃ μορ[φὴ]ν ἔχεις ἴβ[εως, γεννᾷς] [δένδρον] ....... , ...... δαλσον, [λίθ]ον δοραρ ..... [ ...... ]ην ἐπὶ γ[ῆς] χαμαιλέ[οντα, ὄνομά] [σοι ........ ] ὥρᾳ δεκ[άτ]ῃ μορφὴ[ν ἔχεις ..... ] [γεννᾷς δένδρον ...... ]ων, λίθ[ο]ν ἱερακίτη[ν, ὄρνεον] ......... αρκων ... ν . κέρκω[πα ..... ] ................ σφωτος γε ......... []εων εχ[ ....... ] [ ................. ὥρ]ᾳ ιβ μ[ορφὴν] [ἔχεις] ...... ὄνομά σ]οι Ἀδων[αί ..... ] [κα]ὶ Γαβριὴλ αλλωεα ... ουρηηδυδιε θαραβραχι[ρι]γξ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ϊαρβαθαχραμνηφιβ[α]ωχνυμεω καμπυκριλ . ελαμμαρη· εἴρηκά σου τὰ σ[ημ]εῖα καὶ τὰ παράσημα· διό, κύριε, ποίησον τὸ δεῖνα πρᾶ[γμ]α ἀνάγκῃ, μὴ τὸν οὐ[ρ]ανὸν κινήσω, ποίησον τὸ δεῖνα [π]ρᾶγμα ἐμοί, ὁ τύπος, [τ]ὸ σύνολον τοῦ κόσμου, ὃ ⟨σ⟩ κατ[α]κριθεὶς ἐφύλαξα ⟨σ⟩ τοῦ μεγάλου βασιλέως ἱερόν, πο[ί]ησον τὸ δεῖνα πρᾶγμα ἐμοί, τῷ κλειδοφύλακι τοῦ τρ[ι]γώνου παραδείσου τῆς γῆς, τῆς βασιλείας, ποίησον [τ]ὸ δεῖνα πρᾶγμα ἐμοί, τῷ τῆς χήρας ὀρφανῷ κατατετιμημένη ⟨σ⟩ , βωϊαθυριθ, ἵνα μὴ ἀφέλωσ ⟨ί⟩ με τὴν κυριακὴν πατρίδα καὶ πάντα τὰ ἀγαθὰ ἐμπέσῃ κατ' ἐπιταγὴν φωκεν γεψευ αρετα θουμισον κται κτ/ μασκελλι μασκελλω φνουκενταβαω αωριω ζαγρα ῥησ ⟨ί⟩ χθων ἱππόχθων πυροσπαριπηγανυξ καιλαμ ιαλμιω λιλιμουληαλαβαηνερεδεμου· δεῦρό μοι ἐν τῇ ἁγίᾳ σου περιστροφῇ τοῦ ἁγίου πνεύματος, παντὸς κτίστα, θεῶν θεέ, κοίρανε παντός, διαστήσας τὸν κόσμον τῷ σεαυτοῦ πνεύματι θε[ί]ῳ· πρῶτος δ' ἐξεφάνης ἐκ πρωτογόνου, φὺς εὐμεθόδως, ὕδατος βιαίου, ὁ τὰ πάντα κτίσας· ἄβυσσον, γαῖαν, πῦρ, ὕδωρ, ἀέρα καὶ πάλιν αἶθρα καὶ ποταμοὺ ⟨σ⟩ κελάδοντα ⟨σ⟩ , ὑσγηνοϊδῆ τε σελήνη ⟨ν⟩ , ἀστέρας ἀερίου ⟨σ⟩ , ἑῴου ⟨σ⟩ , περιδινοπλανήτα[ς]· αὐταῖς σαῖς βουλαῖς δορυφοροῦσιν ἅπαντα.

σὺ ὁ παρακαλῶν ....... σιν αμοχλ .... φοδοφ .... μ . αρφθω ... ιβκ ΄ ψουφισ[τωμ] . οιωθ ωφρουερ χμηιβ ΄ Ἀρπονκνουφι βρ[ιν]τατ[η]νω[φ]ριβρισκυλμα Ἀρουαρ ζαρβαμεσε[γ]κριφινιγθου μιχμουμαωφ ιαωλι πρὶν [ἀ]στράπτης αι χεαοκιρταβαοζααλε ασρισκι .. ου, βρίθε[ι] στόμα, ἄναξ. δεῦρό μοι, κύριε, ὁ ποτὲ τ[ὸ] φῶς ἀνά[γ]ων, ποτὲ τὸ σκότος κατάγων ⟨κατὰ⟩ τὴν σεαυτοῦ δύναμιν, ἐπάκουσόν μου, κύριε, ἐμοῦ, τοῦ δεῖνα, ἵ[λ]εως κα[ὶ ἀ]σμένως καὶ ἐπ' ἀγαθῷ, ἐκ παντὸς στο[ιχε]ίου, ἐκ παντὸς ἀνέμου, ἐν τῇ σήμερον ἡμέρᾳ, ἱλαρῷ [σ]ου τῷ πρ[ο]σώπῳ, τῇ ἄρτι ὥρᾳ, ὅτι ἐπικαλοῦμαί σου τὸ ἅγιον ὄ[ν]ομα πάντοθεν, ὁ γεννηθεὶς ἐν παντὶ πλάσμ[α]τι ἀνθρωπίνῳ· ἐνπνε[υ-] μάτισον ἡμᾶς. [ὄνο]μά σο[υ] ἐκ μὲν δεξιοῦ ἄξον[ος]· ''Ιάω α[ωι] ωαι [ωυα] ωωωωωω αααααα ιυ .... . ωαι,' ἐκ δ' εὐωνύ[μ]ων ἄξ[ονος]· ''Ιάω αυω ιωαι [π]ιπι ωωω ωω ιιι αυω .... ω[α] ωαι.' ἐλθέ μοι [ἱ]λαρῶ τῷ πρ[ο]σώ[πῳ] ἐπ' αὐτοθελ[ητῷ] κοίτῃ, διδοὺς ἐμοί, τῷ δεῖνα, ζωήν, ὑγείαν, σωτηρίαν, πλοῦτον, εὐτεκνίαν, γνῶ[σ]ιν, εὐακοΐαν, εὐμένειαν, εὐβουλίαν, εὐδοξίαν, μνήμην, χάριν, μορφήν, κάλλος πρὸς πάντας ἀνθρώπους τοὺς ὁρῶντάς με, ὁ πᾶν ὁτιοῦν ἀκο[ύ]ων μου, τῶν λόγων δὸς πεισμονήν, θεὲ μέγ[α]ς, τῷ ευαηω ιω ιαω ωαι ωιω ηαυι τας ερχις· αυξαχοχ Ἀρσαμῶ[σι], λίσσομαι, ἄναξ, πρόσδεξαί μου τὴν λιτανείαν, τὴν πρὸς σὲ ἀναφορὰν προστάξας· ἵνα με νῦν ἐρατῶν πρὸς σὲ τὴν γνῶσιν ἐλλυ[χνιάσ]ῃς καὶ μετὰ τὴν τοῦ ὑλικοῦ σώματος εὐμεν[ῆ ἀποκ]ατάστασιν, δέομαι, κύριε, πρόσδεξαί μου τήνδ[ε] ἀξίωσιν, ⟨τὴν⟩ λιτανείαν, τὴν προσύσ[τ]ασιν, τὴν ἀναφορὰν τοῦ πνεύματος τοῦ λεκτικοῦ, [ὃ κ]αὶ φθασάτω πρὸς σέ, τὸν πάντων δεσπότην, ὅπως [π]οιήσῃς πάντα τὰ τῆς εὐχῆς μου, θεῶν γενντέ. [χ]άριν σοι οἴδαμεν, ψυχῇ πάσῃ, κα[τὰ] καρδίαν πρὸς σ[ὲ] ἀνατεταμένην, ἄφραστον ὄνομα τετιμημένον [τῇ] τοῦ θεοῦ προσηγορίᾳ καὶ εὐλογούμενον τῇ τοῦ [θε]οῦ ὁσ ⟨ι⟩ ό ⟨τητι, ᾗ⟩ πρ[ὸ]ς πάντας καὶ πρὸς πάντα πατρικὴν [εὔ]νοιαν κ[α]ὶ στοργὴν καὶ φιλίαν καὶ ἐπιγλυκυτά[τη]ν ἐνέργειαν ἐνεδείξω, χαρισάμενος ἡμῖν νοῦν, [λόγ]ον, γνῶσιν· νοῦν μέ ⟨ν⟩ , ἵνα σε νοήσωμεν, λόγον [δέ, ἵν]α σε ἐπικαλέσωμεν, γνῶσιν, ἵνα σε ἐπιγνώσωμεν. χαίρομ[ε]ν, ὅτι σεαυτὸν ἡμῖν ἔδειξας, χαίρομεν, ὅτι ἐν πλάσμασιν ἡμᾶς ὄντας ἀπεθέωσας τῇ σεαυτοῦ γνώσει.

χάρις ἀνθρώπου πρὸς σὲ μία· τὸ μέγεθος γνωρίσαι. ἐγνωρίσαμεν, ὦ τῆς ἀνθρωπίνης ζωῆς ⟨ζωή⟩ , ἐγνωρίσαμεν, μήτρα πάσης γνώσεως, ἐγνωρίσαμεν, ὦ μήτρα κυηφόρε ἐν πατρὸς φυτείᾳ, ἐγνω ⟨ρί⟩ σαμεν, ὦ πατρὸς κυηφοροῦντος αἰώνιος διαμονή· οὐ τοσοῦ ⟨τον⟩ ἀγαθὸν προσκυνήσαντες μ[η]δεμίαν ᾐτήσαμεν [λιτήν, πλὴ]ν θέλησον ἡμᾶς δια[τ]ηρηθῆναι ἐν τῇ σῇ γνώ[σει, τ]άδε τη[ρήσαντας] τὸ μὴ σφαλῆναι τοῦ τοιούτου [βίου] τούτου ..... βλιον μετισαγωκην ἔχει πρ ... πα ...... οικουντα θεῷ. μὴ [δ'] ἐν παρέργῳ .... ον ....... μετὰ ε' ἡμέρας .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νιουον.‘ Θυσ[άμενος] ἄλ[ε]υρ[α κ]αὶ ὤ[ρι]μα συκάμι[να] καὶ σή[σαμον ἀνέκ]χυτον καὶ θρίον ἄπυ[ρον], ἐν ᾧ χε[όμενος] σεῦτλ[ον τεύξῃ] τῆς ἰδίας σκιᾶ[,] ὥστε σοι αὐ[τὴ]ν ὑπη[ρετήσειν]. ἐλθὲ ὥρᾳ ἕκτῃ τῆς ἡμέ[ρα]ς πρὸς [ἀνατο]λ[ὴ]ν ἐν ἐρήμῳ τόπῳ περι[εζ]ωσμένο[ς νέο]ν ἐβέννινον ἄρριχον καὶ ἐν τῇ [κε]φαλ[ῇ στροφεῖον] σφενδόνης κόκκιν[ον] καὶ ἐ[πὶ τοῦ δ]εξιοῦ ὠτίου πτερὰν ἱέρα[κο]ς, ἐπὶ [δὲ τ]οῦ εὐωνύμου ἴβεως. πατῶν [ἐ]ν τῷ τό[πῳ προσκύ]νει ἀνατείνας τὰς χεῖρας καὶ λέ[γε] τοῦτο[ν τὸν] λόγον, ὅτι ‘ποίησόν μοι ὑπηρε[τήσε]ιν ν[ῦν τ]ὴν σκιάν μου, ὅτι οἶδά σου τὰ ἅγ[ια] ὀνόμ[ατα κα]ὶ τὰ σημεῖα· καὶ τὰ παράσημα καὶ [τίς εἶ καθ’ ὥρ]αν καὶ τί σοι ὄνομα.‘ ταῦτα εἰπὼν λ[έγε αὖθις τ]ὸν λόγον τὸν ἐπάνω, καὶ ὅταν μὴ [ἀκούσῃ, λέγε]· ‘εἴρηκά σου τὰ ἅγια ὀνόμ[ατα κ]αὶ τὰ [σημεῖά σου] καὶ τὰ παράσημα. διό, κύριε, ποίη[σον] ὑπηρετεῖν μοι τὴν ἐμὴν [σ]κ[ιά]ν.‘ κ[αὶ ὥρᾳ ἑ]βδόμῃ ἐλεύσεταί σοι ἔξαν[τ]ά [σο]υ, καὶ [λέγ]ων αὐτῇ 〈εἰπέ〉 · ‘ἀκολούθει μοι πανταχῆ.‘ σὺ δὲ [ὅρα], μή σε καταλείψῃ. [Verba Coptica] ὡς ἂν θέλεις μετὰ .... ονη ... τὸν λό(γον) [Verba Coptica] ὡς [ἐὰν] ἐθέλεις [Verba Coptica] ὡς θέλεις [Verba Coptica] [τὴ]ν ἡμέραν ταύτη[ν . ] . ιζο ......... ανκ ............ ανια λέγε πρὸς Ἥλιον αιζ περ . λειμητ ........ γαρ ................... ἐν τῇ τρίτῃ ἡμέρ[ᾳ κ]αὶ [εἰς Σελήνην] ........ τριταίαν εἴσ[οδον τ]ῆς θεοῦ ἐλ[θὼν] ἐπὶ ποταμὸν ἀ[έν]αον στρ ........ ενος λουσάμ[ενος ἐ]λθὼν ἐν ἱματίοις καθαροῖς ει . τ ........ πιόμενον ονκ .. ι .. αρμενον ..... τόπον ἔρημον, ἔχων πρὸς ἥλιον [ἀν]ίσχοντα ἀλεκτρ[υό]να [λε]υκὸν ἄσπιλον καὶ στροβίλους δεξιοὺς δώδεκα ἐπί[θ]υε γάλα, οἶνον λευκὸ[ν] σπ[ένδων,] λέγε τοὺς ἀνακειμένους ἑπτὰ λόγο[υς ἑπτά]κις αἰτῶν σύστασ[ιν τὴ]ν τοῦ θεοῦ .................. σεαυτὸν δείξει ... οικητω ἐπ[ὶ] τῶν ἑπτὰ ἡμερῶν ποίει ἑστάνα[ι . ]ο ... ης πρὸς Σελήνην καθαρός, καὶ ὅταν ἴδῃς τὸν θεὸν ἐν τούτῳ τῷ τόπῳ ε ... εδες εὐωχοῦ· ὅταν οὖν συσταθῇς τῷ θεῷ, λέγε λόγον αὔτοπτον καὶ α[ἴτ]ησαι παρὰ τοῦ δεσπότου [προ]γνῶναι. κατελθὼν ἐπὶ τόπον καθαρ[ὸν] καὶ ἱερούμενον καὶ θυσίαν πάλιν ποιήσας ἀλεκτρυόνα κα[ὶ τὰ ἄλλα] ἃ [χ]ρὴ σύμβολα μυστικῶς ἐν καθαροῖς ἱμ[α]τίοις [κρατῶν .

3 (700) .............. θεοῦ τριταίας ἔχων] ἐν τῇ δεξιᾷ ἀ[ρ]τεμισίαν μ[ονόκλω]νον, ἐν τῇ εὐωνύμ[ῳ] γῆρας ὄφεως, καὶ δίωκε τοὺς λόγους ἐπι[κειμένους καὶ] ὅτι βούλει, καὶ ἔσται. πολλάκις δὲ δίωκε ... ἀπ[ογ]εγραμμεν .......... εις μαθεῖν τι, [λέγ]εταί σοι ὑπὸ τοῦ θεοῦ. ἐὰν δὲ .. α . α ... ποι της ανε ......... γράψας κα .. ιωδι ... ς . σινδονίσας δὲ ἀπὸ κεφαλῆς μέχρι ποδῶ[ν ... ]ηκει καὶ γράψα[ς] ἐπὶ τῆς γῆς Ἁρποκράτην ἔχοντα ἐπὶ στόματος ........ λιον, τῇ δὲ εὐω[νύ]μῳ [ς] κῦτος δεδραγμένον καὶ [ἅρ]πην ἐν ........ ου ἔπειτα ἀβλ[α]να θαναλβα, ἐν πτέρυγι Ἀβρασαξ, ὑπὸ νῶτον ωηαυα ........... ντον καὶ στήσας τὸν παῖδα ἐπ’ αὐτοῦ καὶ γράφε τὸν ε′ λόγον αὐτὸν ... [Verba Coptica] θεραπεύεις πολλάκις καὶ τόδε· ἀφελὼν ..... ἀντ’ αὐτοῦ τὴν σινδόνα, θεωρείτω καὶ ὄψεται· σὺ δὲ ἐρώτα [αὐτόν] ...... ἐπὶ δεκάτῃ ἡμέρᾳ ορ ......... πρωὶ τὸν πρῶτον, εἶτα τὸν πρῶτον δεύτερον πρωὶ τῶν ...... ιωντι .. ι ..... τάδε ἔστω . ε . στης .. δύο πλίνθ[ω]ν ε . απ . αλ . ς ....... τε στηκ .. ως ὑπὸ χάρτην ἀντι .... ον ταυρων .... α .. ωα ............. θ .. ε . δ κε[φ]αλῆς ηδια .. υ .... ε .............. νω .......... τ .. ντηκ ... κατάδυσιν τ ............... ἐπι .... εκ .... και . α .......... ἔχε ἐν ταῖς χερ[σὶν ........ ]εραν ....... ταύτη ........... καὶ λέγε τοὺς πρ[ ........... ]τὸν παι ... ἐν ἑκατερ[ ........ ] ὡς ἂν δ . ομηκ ................ ησπουδε ..... ὀλίγον δυς ..... ετα παντα . ποτ ......... ετωσυ ...... ιανες ...... ἐπὶ ταῦτα τοις .......... μεγάλων ει ... δηλων και ..... τασκ ..... καιε ....... βοθρον ε .. ω .. σον ἀμφοτερ[ .... ] στατον καὶ τε ........ λογων πρὸς τ ... τοῖς ποσσικλ[ ...... ] λόγους σὺν ταῖς ......... ν . ω .. καὶ πάντ ... οντα καὶ το .... τα βόθρον εστα .......... σου .. ρευανυ ........ κοντα ποιεῖς ............ μα ... την ........ ....... ἐπίλεγε τὸν ......... αν τοῦ ἐλαίου ἀποτ .............. καθαρὸς ποιη .......... ερχε ... ἀνα ................. [Verba Coptica] ὁ μεγαδαίμων καὶ ὁ ἀπαραίτητος [Verba Coptica] ἡμέρᾳ Διὸς ὥρᾳ α′, ἐπὶ δὲ ῥυστικῆς ὥρᾳ ε′ αἴλουρος [ ], η′ αἴλουρος.

4 (3) [Verba Coptica] [Τ ]ελετή · προαγνεύσας ζ′ ἡμέρας ἐλθὼν τῇ τρίτῃ [τ]ῆς σελήνης εἰς τόπον ἀπογυμνωθέντ[α νε]ωστὶ ἀπὸ τοῦ Νείλου, πρὶν ἐπιβῇ τις αὐτοῦ τὸ περίρυτον (ἢ ἄλλως·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατακλυσθέντα ἀπὸ τοῦ Νείλο[υ]), ποίησον ἐπὶ δύο πλίνθων ἐπὶ κροτάφων ἑστηκυϊῶν ἐκ ξύλων ἐλαΐνων, τουτέστιν κλημα[τίδ]ος, πυρὰν ἀνίσχοντος κατὰ τὸ ἥμισυ τοῦ ἡλίου, πρ[ό]τερον πρὶν ἀνατείλῃ ὁ ἥλιος, περιγυρεύσας τὸν βωμόν, πλήρους δὲ ἀνελθόντος τοῦ ἡλιοδίσκου ἀποτεμὼν τὴν κεφαλὴν ἀλεκτρυόνο[ς] τελείου ὁλολεύκου, ὃν ἐν τῇ ἀριστερᾷ ἀγκάλῃ 〈ἔχεις〉, περιγυρεύεις, πρότερον πρὶν ἥλιος ἀνατ[είλῃ, τὸν] βωμόν. ἀποτέμνεις δὲ τὸν ἀλεκτρυόνα [τοῖς γό]νασι συλλαβὼν μηδενὸς ἄλλου αὐτὸν κατέχοντος· τὴν μὲν κεφαλὴν εἰς τὸν ποταμὸν ῥῖψον, τὸ δὲ αἷμα ἀποδεξάμενος τῇ δεξιᾷ χειρὶ ἔ[κ]πιε, τὸ λοιπὸν σῶμα τῷ ἡμμένῳ βωμῷ ἐπιθ[ε]ίς, καὶ ἐνάλλου τῷ ποταμῷ· μεθ’ ἧς ἔχεις ἐσθῆτος βαπτισάμενος ἀναποδίζων ἄνελθε καὶ μεθα[μ-] φιεσάμενος καινὰ ἄπιθι ἀνεπιστρεπτί. λαβ[ὼν] δὲ μετὰ ταῦτα νυκτικόρακος χολήν, ἀπ’ αὐτῆ[ς] ἐγχρίου πτερῷ ἴβεως τοὺς ὀφθαλμούς [σου], καὶ ἔσει τετελεσμένος. ἐὰν δὲ ἀπορῇς τοῦ [νυκτι]κ[ό]ρακος, χρῶ ᾠῷ ἴβεως, πτερῷ δὲ ἱέρακος· τρήσας τὸ ᾠὸν καὶ ἐνεὶ[ς] τὸ πτερὸν κατάρ〈ρ〉ηξον οὕτω ἐγχρισάμενος.

4 Προαγνεύσας ζʹ ἡμέρας τοῦ τὴν σελήνην πα[ν]σέληνον γενέσθαι ἐναίμων καὶ ἀνεψε[τῶν] ἀπεχόμενος, ἀφ’ ὧν ἐσθίεις, μέρος ἥμι[σ]υ κ[α]τὰ ἴσον καταλιμπάνων ἐπὶ τὰς προκειμέν[ας] ἡμέρας ἐν ἀγγείῳ καλλαΐνῳ, ἐφ’ οὗ καὶ σὺ ἐσ[θίεις, ο]ἴνου ἀπεχόμενος, σελήνης δὲ πληρωθε[ίσης] [ἐ]λθὼν εἰς τὰ ἀπηλιωτικὰ μέρη τῆς πόλεως ἢ κώμης ἢ τῆς οἰκίας μονή〈ρησ〉 ἐν ἀγροῖς ἀπόρ[ρι]ψον τὰ καταλειφθέντα μέρη καὶ οὕτως ὀξέως ἐπάνελθε ἐπὶ τὸν τόπον σου καὶ ἀπόκλεισον σεαυτ[όν], μή σε προλάβῃ· ἐὰν γὰρ προλημφθῇς, ἀποκλείῃ ὑπ’ αὐτοῦ. πρὶν ἐκρίψῃς δὲ τὰ μερίδια, κάλαμον χωρικὸν ὡς πηχῶν δύο πήξας ἐν τῇ γῇ ὀλίγον ἐπικεκλιμένον καὶ ἐξαρτήσας αὐτοῦ θριξὶ ἵππου ἄρσενος κάνθαρον τὸν ταυρόμορφον κατὰ τὸ μέσον δεδεμένον, ὑπόθες αὐτῷ ἐν λεκάνῃ καινῇ ὀστρακίνῃ λύχνον καινὸν ἐξημμένον, ὡς τὴν ἀτμίδα τοῦ λύχνου ἐφικέσθαι ὀλίγον τοῦ κανθάρου. στῆθι μετὰ τὸ ἐκρῖψαι τὰ μέρη καὶ εἰσελθεῖν καὶ ἀποκλεῖσαι ἀτάραχος. ἐπιστήσεται γὰρ ὁ κληθεὶς καὶ ἀναγκάσει σε ἀπειλῶν ἔνοπλος ἀπολῦσαι τὸν κάνθαρον. σὺ δὲ μὴ ταραχθῇς μηδὲ ἀπολύσῃς, ἔστ’ ἂν χρηματίσῃ σοι, καὶ οὕτω ταχέως αὐτὸν ἀπόλυσον. ὅταν δὲ μέλλῃς καθ’ ἡμέραν ἐν τῇ ἁγνείᾳ ἐσθίειν καὶ κοιμᾶσθαι, εἰπὲ τὸν λόγον πρὸς 〈σελήνην〉 ζʹ, ὅνπερ μετὰ τὸ ἐκρῖψαι ἐπανελθὼν πάλιν ἐρεῖς. [Verba Coptica] φυλακτήριον τοῦ προκειμένου· γράψον εἰς χάρτην καθαρὸν αἵματι ἀπὸ χειρὸς ἢ ποδὸς γυναικὸς ἐγκύου τὸ προϋποκείμενον ὄνομα καὶ φόρει περὶ τὸν ἀριστερὸν βραχίονα λίνῳ δήσας. ἔστιν δὲ τὰ γραφόμενα· [Verba Coptica] ἀπόλυσις· ἀπολύσας τὸν κάνθαρον εἰπέ· [Verba Coptica] φύλαττε τάδε σφόδρα. ἡ πρᾶξις· κρόμμυον. Φυλακτήριον πρὸς δαιμόνια· [Verba Coptica] ἀπάλλαξον (κοινά) [Verba Coptica] Ἄλλη πρὸς ἥλιον· σινδονιάσας κατὰ κεφαλῆς μέχρ[ι] ποδῶν γυμνὸν κ〈ρ〉ότα καὶ προκωδωνίσας παῖδα στῆσον κα[τ]αντικρὺ τοῦ ἡλίου καὶ λέγε τὸν λόγον κατόπιν αὐτοῦ στάς· [Verba Coptica] σοῦ λέγοντος ἐὰν σίελος πολὺς ἐν τῷ στόματι γένηται, νόει, ὅτι νοσεῖ καὶ βούλεταί σοι λαλῆσαι· ἐὰν χασμήσῃ πλειστάκις, βούλεται πρός σε ἐλθεῖν. ἐὰν δὲ πταρῇς δὶς ἢ καὶ πρός, ὁλοκληρεῖ καὶ ἀνέρχεται, ὅθεν ἐστίν· ἐὰν κεφαλαργήσῃς καὶ δακρύσῃς, νοσεῖ ἢ καὶ τελευτᾷ. [Verba Coptica] ταῦτα ὑπὲρ γυναικῶν. ὅταν δὲ κατὰ γυναικῶν, λέγε ἐναλλὰξ τὰς θηλείας ἐγείρων ἐπὶ τοὺς ἄρρενας· [Verba Coptica] Νεφώτης Ψαμμητίχ ῳ , βασιλεῖ Αἰγύπτου αἰωνοβί ῳ , χαίρειν · ἐπεί σε ὁ μέγας θεὸς ἀπεκατέστησεν βασιλέα αἰωνόβιον, ἡ δὲ φύσις κατέστησεν ἄριστον σοφιστήν, καὶ ἐγώ σοι βουλόμενος ἐπιδείξασθαι τὴν ἐν ἐμοὶ φιλοπονίαν ἀπέστειλά σοι τήνδε τὴν πρᾶξιν ἐν πάσῃ εὐκοπίᾳ ἱερὰν ἐπιτελουμένην ἐνέργειαν, ἣν καὶ 〈σὺ〉 δοκιμάσας θαυμάσεις τὸ παράδοξον τῆς οἰκονομίας ταύτης· σκέψῃ διὰ λεκάνης αὐτόπτου ἐν ᾗ βούλει ἡμέρᾳ ἢ νυκτί, ἐν ᾧ βούλει τόπῳ, θεωρῶν τὸν θεὸν ἐν τῷ ὕδατι καὶ φωνὴν λαμβάνων ἐν στίχοις παρὰ τοῦ θεοῦ, οἷς βούλει· οἴσεις καὶ τὸν κοσμοκράτορα καὶ εἴ τι ἂν προσθῇς, ἐρεῖ δὲ καὶ περὶ ἄλλων, ὧν ἐπερωτήσεις. ἐπιτεύξει χρησάμενος οὕτως, πρῶτα μὲν συσταθεὶς πρὸς τὸν Ἥλιον τρόπῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτῳ· οἵᾳ βούλει ἀνατολῇ τριταίας οὔσης τῆς σελήνης ἐπὶ δώματος ὑψηλοτάτου ἀνελθὼν στρῶσον ἐπὶ τῆς γῆς σινδόνιον καθαρόν. ποίει σὺν μυσταγωγῷ. σὺ δὲ αὐτὸς στεψάμενος κισσῷ μέλανι μεσουρανέοντος τοῦ ἡλίου ὥρᾳ πέμπτῃ κατακλίθητι ἄνω βλέπων ἐπὶ τὴν σινδόνα γυμνὸς καὶ κέλευέ σου περικαλύπτεσθαι τοὺς ὀφθαλμοὺς τελαμῶνι μέλανι καὶ περιστείλας σεαυτὸν νεκρικῷ τρόπῳ καμμύων τοὺς ὀφθαλμούς, τὸ νεῦμα ἔχων πρὸς τῷ ἡλίῳ κατάρχου λόγων τῶνδε. λόγος· ‛Κραταιὲ Τυφῶν, τῆς ἄνω σκηπτουχίας σκηπτοῦχε καὶ δυνάστα, θεὲ θεῶν, ἄναξ αβεραμενθωου (λόγος), γνοφεντινάκτα, βρονταγωγέ, λαιλαπετέ, νυκταστράπτα, ψυχ 〈ρ〉 οθερμοφύσησε, πετρεντινάκτα, τειχοσεισμοποιέ, κοχλαζοκύμων, βυθοταραξοκίνησε, Ἰωερβήτ αυ ταυϊ μηνι· ἐγώ εἰμι ὁ σύν σοι τὴν ὅλην οἰκουμένην ἀνασκαλεύσας καὶ ἐξευρὼν τὸν μέγαν Ὄσιριν, ὅν σοι δέσμιον προσήνεγκα. ἐγὼ εἰμι ὁ σύν σοι συμμαχήσας τοῖς θεοῖς (οἱ δέ· πρὸς τοὺς θεούς)· ἐγώ εἰμι ὁ κλείσας οὐρανοῦ δισσὰς πτύχας καὶ κοιμίσας δράκοντα τὸν ἀθεώρητον, στήσας θάλασσαν, ῥεῖθρα, ποταμῶν νάματα, ἄχρις οὗ κυριεύσῃς τῆσδε τῆς σκηπτουχίας. ὁ σὸς στρατιώτης ὑπὸ θεῶν νενίκημαι, πρηνὴς ῥέριμμαι μηνίδος εἵνεκεν κενῆς. ἔγειρον, ἱκετῶ, τὸν σόν, ἱκνοῦμαι, φίλον καὶ μ[ή] με ῥίψῃς χθονοριφῆ, ἄναξ θεῶν αεμιναεβαρωθερρεθωραβεανιμεα. δυνάμωσον, ἱκετῶ, δός τε μοι ταύτην τὴν χάριν, ἵν’, ὅταν τινὰ αὐτῶν τῶν θεῶν φράσω μολεῖν, ἐμαῖς ἀοιδαῖς θᾶττον ὀφθῇ μοι μολών.

ναϊνε βασαναπτατου εαπτου μηνωφαεσμη παπτου μηνωφ· αεσιμη· τραυαπτι· πευχρη· τραυαρα· πτουμηφ· μουραι· ανχουχαφαπτα· μουρσα· αραμει· Ἰάω· αθθαραυϊ μηνοκερ· βορο πτουμηθ· ατ ταυϊ μηνι χαρχαρα· πτουμαυ· λαλαψα· τραυϊ τραυεψε μαμω φορτουχα· αεηιο ϊου οηωα· εαϊ αεηι ωι ιαω αηι αι ιαω.‘ ταῦτά σου εἰπόντος τρὶς σημεῖον ἔσται τῆς συστάσεως τόδε, σὺ δὲ μαγικὴν ψυχὴν ἔχων ὁπλισθεὶς μὴ θαμβηθῇς· ἱέραξ γὰρ πελάγιος καταπτὰς τύπτει σε ταῖς πτέρυξιν εἰς τὸ πλάσμα σου ταῦτα αὐτὰ δηλῶν ἐξαναστῆναί σε. σὺ δὲ ἀναστὰς ἀμφιέσθητι λευκοῖς εἵμασιν καὶ ἐπίθυε ἐπὶ θυμιατηρίου γεΐνου ἄτμητον λίβανον σταγονιαῖον λέγων τάδε· ‛συνεστάθην σου τῇ ἱερᾷ μορφῇ, ἐδυναμώθην τῷ ἱερῷ σου ὀνόματι, ἐπέτυχόν σου τῆς ἀπορροίας τῶν ἀγαθῶν, κύριε, θεὲ θεῶν, ἄναξ, δαῖμον αθθουϊν θουθουϊ ταυαντι· λαω απτατω.‘ ταῦτα ποιήσας κάτελθε ἰσοθέου φύσεως κυριεύσας τῆς διὰ ταύτης τῆς συστάσεως ἐπιτελουμένης αὐθοπτικῆς λεκανομαντείας ἅμα καὶ νεκυοαγωγῆς. σκέψις· ἐπειδάν ποτε βούλει σκέψασθαι περὶ πραγμάτων, λαβὼν ἄγγος χαλκοῦν, ἢ λεκάνην ἢ φιάλην, οἵαν ἐὰν βούλῃ, βάλε ὕδωρ —ἐὰν μὲν τοὺς ἐπουρανίους θεοὺς κλήζῃ, ζήνιον, ἐὰν δὲ τοὺς ἐπιγείους, θαλάσσιον, ἐὰν δὲ Ὄσιριν ἢ τὸν Σάραπιν, ποτάμιον, ἐὰν δὲ νέκυας, πηγαῖον—κατέχων ἐπὶ τοῖς γόνασι σκεῦος, ἐπιβαλὼν ἔλαιον ὀμφάκινον καὶ σὺ αὐτὸς ἐπικύπτων ἐν τῷ σκεύει λέγε τὸν λόγον τὸν ὑποκείμενον καὶ προσκαλοῦ, ὃν βούλει θεόν, καὶ ἐπερώτα, περὶ οὗ θέλεις, καὶ ἀποκριθήσεταί σοι καὶ ἐρεῖ σοι περὶ πάντων. ἐὰν δὲ εἴπῃ, ἀπόλυε αὐτὸν τῇ ἀπολύσει, ὃς τῷδε αὐτῷ λόγῳ χρώμενος θαυμάσεις. λόγος λεγόμενος ἐπὶ τοῦ σκεύους· ‛Ἀμοῦν αυανταυ λαϊμουταυ ριπτου μανταυι ιμαντου λαντου λαπτουμι· ανχωμαχ· αραπτουμι· δεῦρό 〈μοι〉, ὅ τις θεός, ὄφθητί μοι ἐν τῇ ἄρτι ὥρᾳ καὶ μή μου θαμβήσῃς τοὺς ὀφθαλμούς. δεῦρό μοι, ὅ τις θεός, ἐπήκοός μοι γενοῦ, ὅτι τοῦτο θέλει καὶ ἐπιτάσσει αχχωρ αχχωρ· αχαχαχ πτουμι χαχχω χαραχωχ· χαπτουμη· χωραχαραχωχ· απτουμι· μηχωχαπτου· χαραχπτου· χαχχω χαραχω· πτεναχωχευ‘ (γράμματα ἑκατόν). οὐκ ἀγνοεῖς δέ, βασιλεῦ μέγιστε καὶ μάγων καθη 〈γε〉 μών, ὅτι τοῦτό ἐστιν τὸ πρωτεῦον ὄνομα τοῦ Τυφῶνος, ὃν τρέμει γῆ, βυθός, Ἅιδης, οὐρανός, ἥλιος, σελήνη, χορὸς ἄστρων ἐπιφανής, σύμπας κόσμος, ὅπερ ὄνομα [ῥη]θὲν θεοὺς καὶ δαίμονας ἐπ’ αὐτὸ βίᾳ φέρει. ἔστιν [δ]ὲ γραμμάτων ρʹ τοῦτο τὸ ὄνομα. ἐν ὑστέρῳ σοῦ φωνήσαν[τ]ος φανήσεται, ὃν φωνεῖς, θεὸς ἢ νέκυς, καὶ ἀποκριθήσεται περὶ ὧν ἐπερωτᾷς πάντων.

ἐπὰν δὲ ἐκμάθῃς, ἀπόλυε τὸν θεὸν μόνον τῷ ἰσχυρῷ ὀνόματι τῷ τῶν ἑκατὸν γραμμάτων λέγων· ‛ἄπιθι, δέσποτα. τοῦτο γὰρ θέλει καὶ ἐπιτάσσει σοὶ ὁ μέγας θεός, τις.‘ λέγε τὸ ὄνομα, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπελεύσεται. αὕτη ἡ πραγματεία, βασιλεῦ μέγιστε, εἰς σὲ μόνον χωρησάτω, φυλασσομένη ἀπό σου ἀμετάδοτος. ἔστιν δὲ αὐτὸ τὸ φυλακτήριον, ὃ φορεῖς καὶ ἱστανόμενος πράσσων· εἰς λεπίδα ἀργυρᾶν αὐτὸ τὸ ὄνομα γραμμάτων ρʹ ἐπίγραψον χαλκῷ γραφείῳ καὶ φόρει εἴρας ἱμάντι ὄνου. σύστασις τῆς πράξεως· πρὸς ἀνατολὴν τοῦ ἡλίου λέγε· ‘σὲ καλῶ, τὸν πρῶτα θεῶν ὅπλον διέποντα, σὲ τὸν ἐπ’ οὐρανίων σκῆπτρον βασίλειον ἔχοντα, σὲ τὸν ἄνω μέσον τῶν ἄστρων Τυφῶνα δυνάστην, σὲ τὸν ἐπὶ τῷ στερεώματι δεινὸν ἄνακτα, σὲ τὸν φοβερὸν καὶ τρομερὸν καὶ φρικτὸν ἐόντα, σὲ τὸν δῆλον, ἀμήχανον, μισοπόνηρον, σὲ καλέω, Τυφῶν’, ὥραις ἀνόμοις, ἀμετρήτοις, σὲ τὸν ἐπ’ ἀσβέστῳ βεβηκότα πυρὶ λιγείῳ, σὲ τὸν ἄνω χιόνων, κάτω δὲ πάγους σκοτεινοῦ, σὲ τὸν ἐπ’ εὐκταίων Μοιρῶν βασίλειον ἔχοντα κλῄζω, παντοκράτωρ, ἵνα μοι ποιήσῃς, ἅ σε ἐρωτῶ, καὶ εὐθὺς ἐπινεύσῃς μοι ἐπιτρέψῃς τε γενέσθαι (κοινά), ὅτι σὲ ἐξορκίζω γαρ θαλα· βαυζαυ· θωρθωρ καθαυκαθ· ϊαθιν· να βορκακαρ· βορβα· καρβορβοχ· μω ζαυ ουζωνζ· ων· υαβιθ· Τυφῶν μέγιστε, ἄκουσόν μου, τοῦ δεῖνα, καὶ ποίησόν μοι τὸ δεῖνα πρᾶγμα· λέγω γάρ σου τὰ ἀληθινὰ ὀνόματα· Ἰωερβήθ· Ἰωπακερβήθ· Ἰωβολχοσήθ· οεν Τυφῶν· ασβαραβω· βιεαισηּ· με νερω· μαραμω· ταυηρ· χθενθωνιε· αλαμ βητωρ· μενκεχρα· σαυειωρ ρησειοδωτα· αβρησιοα· φωθηρ· θερθωναξ· νερδωμευ· αμωρης· μεεμε· ωιης· συσχιε· ανθωνιε· Φρᾶ· εἰσάκουσόν μου καὶ ποίησον τὸ δεῖνα πρᾶγμα.‘ Βοτανήαρσις · χρῶ πρὸ ἡλίου. λόγος λεγόμενος· ‘αἴρω σε, ἥ τις βοτάνη, χειρὶ πενταδακτύλῳ, ἐγὼ ὁ δεῖνα, καὶ φέρω παρ’ ἐμαυτόν, ἵνα μοι ἐνεργήσῃς εἰς τήν τινα χρείαν. ὁρκίζω σε κατὰ τοῦ ἀμιάντου ὀνόματος τοῦ θεοῦ· ἐὰν παρακούσῃς, ἥ σε τεκοῦσα γαῖά σε οὐκέτι βρεχήσεται πώποτε ἐν βίῳ πάλιν, ἐὰν ἀπορηθῶ τῆσδε τῆς οἰκονομίας μουθαβαρ· ναχ βαρναχωχα· βραεω μενδαλαυβραασσε· φασφα βενδεω· τελέσατέ μοι τὴν τελείαν ἐπαοιδήν.‘ Φιλτροκατάδεσμος θαυμαστός · λαβὼν κηρὸν 〈ἢ πηλὸν〉 ἀπὸ τροχοῦ κεραμικοῦ πλάσον ζῴδια δύο, ἀρρενικὸν καὶ θηλυκόν· τὸν μὲν ἄρσενα ὡς Ἄρεα καθωπλισμένον ποίησον τῇ ἀριστερᾷ χειρὶ κρατοῦντα ξίφος, καταπλήσσοντα αὐτῆς εἰς τὴν κατακλεῖδα τὴν δεξιάν, αὐτὴν δὲ ὀπισθάγγωνα καὶ ἐπὶ τὰ γόνατα καθημένην, καὶ τὴν οὐσίαν ἐπὶ τῆς κεφαλῆς ἅψεις ἢ ἐπὶ τοῦ τραχήλου.

4 (300) γράψον δὲ εἰς τὸ πλάσμα τῆς ἀγομένης· ἐπὶ μὲν τῆς κεφαλῆς· ‘ἴσεη Ἰάω ιθι ουνε βριδω λωθιων νεβουτοσουαληθ·‘ ἐπὶ δὲ τῆς δεξιᾶς ἀκοῆς· ‘ουερ μηχαν·‘ ἐπὶ δὲ τῆς εὐωνύμου· ‘λιβαβα ωϊμαθοθο‘, ἐπὶ δὲ τῆς ὁράσεως· ‘ἀμουναβρεω·‘ ἐπὶ δὲ τοῦ δεξιοῦ ὀφθαλμοῦ· ‘ωρορμοθιο αηθ·‘ ἐπὶ δὲ τοῦ ἄλλου· ‘χοβουε·‘ ἐπὶ δὲ τῆς δεξιᾶς κλειδός· ‘αδετα μερου·‘ ἐπὶ δὲ τοῦ δεξιοῦ βραχίονος· ‘ενε ψα ενεσγαφ·‘ ἐπὶ δὲ τοῦ ἄλλου· ‘μελχιου μελχιεδια‘, ἐπὶ δὲ τῶν χειρῶν· ‘μελχαμελχου αηλ·‘ ἐπὶ δὲ τοῦ στήθους τὸ ὄνομα τῆς ἀγομένης μητρόθεν, ἐπὶ δὲ τῆς καρδίας· ‘βαλαμιν Θωούθ·‘ καὶ ὑπὸ τὸ ὑπογάστριον· ‘αοβης αωβαρ·‘ ἐπὶ δὲ τῆς φύσεως· ‘βλιχιανεοι ουωϊα‘, ἐπὶ δὲ τῆς πυγῆς· ‘πισσαδαρα·‘ ἐπὶ δὲ τῶν πελμάτων τοῦ μὲν δεξιοῦ· ‘ελω·‘ τοῦ δὲ ἄλλο[υ·] ‘ελωαιοε‘, καὶ λαβὼν δεκατρεῖς βελόνας χαλκᾶς πῆξον αʹ ἐπὶ τοῦ ἐγκεφάλου λέγων· ‘περονῶ σου, ἡ δεῖνα, τὸν ἐγκέφαλον‘, καὶ βʹ εἰς τὰς ἀκοὰς καὶ βʹ εἰς τοὺς ὀφθαλμοὺς καὶ αʹ εἰς τὸ στόμα καὶ βʹ εἰς τὰ ὑποχόνδρια καὶ αʹ εἰς τὰς χεῖρας καὶ βʹ εἰς τὰς φύσεις καὶ βʹ εἰς τὰ πέλματα καθ’ ἅπαξ λέγων· ‘περονῶ τὸ ποιὸν μέλος τῆς δεῖνα, ὅπως μηδενὸς μνησθῇ πλὴν ἐμοῦ μόνου, τοῦ δεῖνα.‘ καὶ λαβὼν πλάτυμμα μολυβοῦν γράψον τὸν λόγον τὸν αὐτὸν καὶ δίωκε καὶ συνδήσας τὸ πέταλον τοῖς ζῳδίοις μίτῳ ἀπὸ ἱστοῦ ποιήσας ἅμματα τξε , λέγων, ὡς οἶδας· ‘Ἀβρασάξ, κατάσχες,‘ τίθεσαι ἡλίου δύνοντος παρὰ ἀώρου ἢ βιαίου θήκην, παρατιθῶν αὐτῷ καὶ τὰ τοῦ καιροῦ ἄνθη. λόγος ὁ γραφόμενος καὶ διωκόμενος· ‘παρακατατίθεμαι ὑμῖν τοῦτον τὸν κατάδεσμον, θεοῖς χθονίοις Υεσεμιγαδων καὶ Κούρῃ Περσεφόνῃ Ἐρεσχιγὰλ καὶ Ἀδώνιδι τῷ Βαρβαριθα, Ἑρμῇ καταχθονίῳ Θωούθ φωκενταζεψευ αερχθαθου μισονκται καλβαναχαμβρη καὶ Ἀνούβιδι κραταιῷ ψιρινθ, τῷ τὰς κλεῖδας ἔχοντι τῶν καθ’ Ἅιδου, θεοῖς καὶ δαίμοσι καταχθονίοις, ἀώροις τε καὶ ἀώραις, μέλλαξί τε καὶ παρθένοις, ἐνιαυτοὺς ἐξ ἐνιαυτῶν, μῆνας ἐκ μηνῶν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμέρας ἐξ ἡμερῶν, ὥρας ἐξ ὡρῶν. ὁρκίζω πάντας δαίμονας τοὺς ἐν τῷ τόπῳ τούτῳ συνπαρασταθῆναι τῷ δαίμονι τούτῳ· καὶ ἀνέγειρέ μοι σαυτόν, ὅστις ποτ᾽ εἶ, εἴτε ἄρρην, εἴτε θῆλυς, καὶ ὕπαγε εἰς πάντα τόπον καὶ εἰς πᾶν ἄμφοδον καὶ εἰς πᾶσαν οἰκίαν καὶ ἆξον καὶ κατάδησον· ἆξον τὴν δεῖνα, ἣν δεῖνα, ἧς ἔχεις τὴν οὐσίαν, φιλοῦσάν με τὸν δεῖνα, ὃν ἔτεκεν ἡ δεῖνα· μὴ βινηθήτω, μὴ πυγισθήτω μηδὲ πρὸς ἡδονὴν ποιή[σ]ῃ μετ᾽ ἄλλου ἀνδρός, εἰ μὴ μετ᾽ ἐμοῦ μόνου, τοῦ δεῖνα, ἵνα μὴ δυνηθῇ ἡ δεῖνα μήτε πεῖν μήτε φαγεῖν, μὴ στέργειν, μὴ καρτερεῖν, μὴ εὐσταθῆσαι, μὴ ὕπνου [τ]υχεῖν ἡ δεῖνα ἐκτὸς ἐμοῦ, τοῦ δεῖνα, ὅτι σε ἐξορκίζω κατὰ τοῦ ὀνόματος τοῦ φοβεροῦ καὶ τρομεροῦ, οὗ ἡ γῆ ἀκούσα[σ]α τοῦ ὀνόματος ἀνοιγήσεται, οὗ οἱ δαίμονες ἀκούσαντες τοῦ ὀνόματος ἐνφόβου φοβηθήσονται, οὗ οἱ ποταμοὶ καὶ αἱ πέτραι ἀκούσαντες τὸ ὄνομα ῥήσσονται.

4 (350) ὁρκίζω σε, νεκύδαιμον, εἴτε ἄρρης, εἴτε θῆλυς, κατὰ τοῦ Βαρβαριθα χενμβρα βαρουχαμβρα καὶ κατὰ τοῦ Ἀβρατ Ἀβρασὰξ σεσενγεν βαρφαραγγης καὶ κατὰ τοῦ αωια μαρι ἐνδόξου καὶ κατὰ τοῦ Μαρμα 〈ρ〉 εωθ Μαρμαραυωθ Μαρμαραωθ μαρεχθανα αμαρζα· μαριβεωθ· μή μου παρακούσῃς, νεκύδαιμον, τῶν ἐντολῶν καὶ τῶν ὀνομάτων, ἀλλ᾽ ἔγειρον μόνον σεαυτὸν ἀπὸ τῆς ἐχούσης σε ἀναπαύσεως, ὅστις ποτὲ εἶ, εἴτε ἄρρης, εἴτε θῆλυς, καὶ ὕπαγε εἰς πάντα τόπον, εἰς πᾶν ἄμφοδον, εἰς πᾶσαν οἰκίαν καὶ ἔνεγκόν μοι τὴν δεῖνα, καὶ κατάσχες αὐτῆς τὴν βρῶσιν καὶ τὴν πόσιν, καὶ μὴ ἐάσῃς τὴν δεῖνα ἄλλου ἀνδρὸς πεῖραν λαβεῖν πρὸς ἡδονήν, μηδὲ ἰδίου ἀνδρός, εἰ μὴ ἐμοῦ μόνου, τοῦ δεῖνα, ἀλλ᾽ ἕλκε τὴν δεῖνα τῶν τριχῶν, τῶν σπλάγχνων, τῆς ψυχῆς πρὸς ἐμέ, τὸν δεῖνα, πάσῃ ὥρᾳ τοῦ αἰῶνος, νυκτὸς καὶ ἡμέρας, μέχρι οὗ ἔλθῃ πρὸς ἐμέ, τὸν δεῖνα, καὶ ἀχώριστός μου μείνῃ ἡ δεῖνα. ποίησον, κατάδησον εἰς τὸν ἅπαντα χρόνον τῆς ζωῆς μου καὶ συνανάγκασον τὴν δεῖνα ὑπουργὸν εἶναί μοι, τῷ δεῖνα, καὶ μὴ ἀποσκιρτάτω ἀπ᾽ ἐμοῦ ὥραν μίαν τοῦ αἰῶνος. ἐάν μοι τοῦτο τελέσῃς, ἀναπαύσω σε ταχέως· ἐγὼ γάρ εἰμι Βαρβαρ Ἀδωναί, ὁ τὰ ἄστρα κρύβων, ὁ λαμπροφεγγὴς οὐρανοῦ κρατῶν, ὁ κύριος κόσμου αθθουϊν ϊαθουϊν σελβιουωθ· Ἀὼθ σαρβαθιουθ ιαθθιεραθ Ἀδωναὶ ϊα ρουρα βια βι βιοθη αθωθ Σαβαὼθ ηα νιαφα αμαραχθι· σαταμα· ζαυαθθειη σερφω ϊαλαδα ϊαλη σβησι· ιαθθα· μαραδθα· αχιλθθεε χοωω οη ηαχω· κανσαοσα· αλκμουρι· θυρ· θαωος· σιεχη· εἰμὶ Θὼθ οσωμαι· ἆξον, κατάδησον τὴν δεῖνα φιλοῦσαν, ἐρῶσαν, τὸν δεῖνα ποθοῦσαν (κοινόν), ὅτι ὁρκίζω σε, νεκύδαιμον, κατὰ τοῦ φοβεροῦ, μεγάλου ϊαεω βαφρενεμουν οθι λαρικριφια ευεαϊ φιρκιραλιθον υομεν ερ φαβωεαι, ἵνα μοι ἄξῃς τὴν δεῖνα καὶ κεφαλὴν κεφαλῇ κολλήσῃ καὶ χείλεα χείλεσι συνάψῃ καὶ γαστέρα γαστρὶ κολλήσῃ καὶ μηρὸν μηρῷ πελάσῃ καὶ τὸ μέλαν τῷ μέλανι συναρμόσῃ καὶ τὰ ἀφροδισιακὰ ἑαυτῆς ἐκτελέσῃ ἡ δεῖνα μετ᾽ ἐμοῦ, τοῦ δεῖνα, εἰς τὸν ἅπαντα χρόνον τοῦ αἰῶνος.

4 (400) ‘ εἶτα γράψον εἰς ἕτερον μέρος τοῦ πλατύματος τὴν καρδίαν καὶ τοὺς χαρακτῆρας, ὡς ὑπόκειται· [Start of a diagram] ιαεωβαφρενεμουνοθιλαρικριφιαευεαιφιρκι
ιαεωβαφρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφαβωεαι
αεωβαφρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφαβωεα αω
εωβαφρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφαβωε ιι εα
ωβαφρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφαβω οεω ιω
βαφρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφαβ οϊεε υο
αφρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφα οεϋϊ ιο
φρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφ οευυ οε ιαυυ ιωαε υυαα εοηι οιιι υαου υαεε ιαωϊ εωαυ αηαη οουϊ ηϊοϊ ηηεα ωϊυα ααϊα αωοε ιιιω υϊωη εεαω εοαωα ηηαω υαυα ηϊηε ιοηιιη οαηϊ ιαωι ηϊυϊ αοαο ηηοϊ υυοι υααι ηιια ααωω [End of a diagram] ἐξαίτησις τῆς πράξεως· πρὸς ἡλίου δυσμάς, ἔχων οὐσίαν τοῦ μνημείου, λέγε· ‘ἀεροφοιτήτων ἀνέμων ἐποχούμενος αὔραις, Ἥλιε χρυσοκόμα, διέπων φλογὸς ἀκάματον πῦρ, αἰθερίαισι τριβαῖς μέγαν πόλον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφιελίσσων, γεννῶν αὐτὸς ἅπαντα, ἅπερ πάλιν ἐξαναλύεις· ἐξ οὗ γὰρ στοιχεῖα πάντα τεταγμένα σοῖσι νόμοισι, κόσμον ἅπαντα τρέφουσιν τετρά 〈τρο〉 πον εἰς ἐνιαυτόν. κλῦθι, μάκαρ· σὲ γὰρ κλῄζω, τὸν οὐρανοῦ ἡγεμονῆα, γαίης τε χάοιο καὶ Ἅιδαο, ἔνθα νέμονται δαίμονες ἀνθρώπων οἱ πρὶν φάος εἰσορόωντες. καὶ δὴ νῦν λίτομαί σε, μάκαρ, ἄφθιτε, δέσποτα κόσμου· ἢν γαίης κευθμῶνα μόλῃς νεκύων ἐπὶ χῶρον, πέμψον δαίμονα τοῦτον τῇ δεῖνα μεσάταισι ὥραις, οὗπερ ἀπὸ σκήνους κατέχω τόδε λείψανον ἐν χερσὶν ἐμαῖς, νυκτός, ἐλευσόμενον προστάγμασι σῆς ὑπ’ ἀνάγκης, ἵν’, ὅσα θέλω ἐν φρεσὶ ἐμαῖς, πάντα μοι ἐκτελέσῃ, πραΰν, μειλίχιον μηδ’ ἀντία μοι φρονέοντα.

μηδὲ σὺ μηνίσῃς κραταιαῖς ἐπ’ ἐμαῖς ἐπαοιδαῖς· ταῦτα γὰρ αὐτὸς ἔταξας ἐν ἀνθρώποισι δαῆναι νήματα Μοιράων, καὶ σαῖς ὑποθημοσύνῃσι. κλῄζω δ’ οὔνομα σόν, Ὧρ’, ὂν Μοιρῶν ἰσάριθμον· αχαϊφω θωθω φιαχα αϊη ηϊα ιαη· ηϊα θωθω φιαχα· ἵλαθί μοι, προπάτωρ, κόσμου θάλος, αὐτολόχευτε, πυρφόρε, χρυσοφαῆ, φαεσίμβροτε, δέσποτα κόσμου, δαῖμον ἀκοιμήτου πυρός, ἄφθιτε, χρυσεόκυκλε, φέγγος ἀπ’ ἀκτίνων καθαρὸν πέμπων ἐπὶ γαῖαν· πέμψον τὸν δαίμονα, ὅνπερ ἐξῃτησάμην, τῇ δεῖνα (κοινόν).‘ ἄλλως τὸ ὄνομα· αχαϊ φωθωθω αϊη· ηϊα· ιαη· ηϊω θω θω φιαχα· ἄλλως· αχαϊ φωθωθω αϊη ϊηα ηαϊ ιαη· αηϊ ηϊα ωθωθω φιαχα· Θυμοκάτοχον · ‘τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι;‘ Πρὸς φίλους · ‘αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν‘ ‘ὣς εἰπὼν τάφροιο διήλασε μώνυχας ἵππους‘ ‘ἄνδρας τ’ ἀσπαίροντας ἐν ἀργαλέῃσι φονῇσι‘ ‘αὐτοὶ δ’ ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ‘ ‘τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ’ Ἐπιάλτης.‘ Ἵλαθί μο ι , Πρόνοια καὶ Ψυχ ή , τάδε γράφοντι τὰ 〈ἄ〉 πρατα, παραδοτὰ μυστήρια, μόνῳ δὲ τέκνῳ ἀθανασίαν ἀξιῶ, μύσται τῆς ἡμετέρας δυνάμεως ταύτης (χρὴ οὖν σε, ὦ θύγατερ, λαμβάνειν χυλοὺς βοτανῶν καὶ εἰδῶν τῶν μ[ελ]λόντων σοι 〈μηνυθήσεσθαι〉 ἐν τῷ τέλει τοῦ ἱεροῦ μου συντάγματος), ἣν ὁ μέγας θεὸς Ἥλιος Μίθρας ἐκέλευσέν μοι μεταδοθῆναι ὑπὸ τοῦ ἀρχαγγέλου αὐτοῦ, ὅπως ἐγὼ μόνος αἰ〈τ〉ητὴς οὐρανὸν βαίνω καὶ κατοπτεύω πάντα. ἔστιν δὲ τοῦ λόγου ἥδε ἡ κλῆσις· ‘[Γ]ένεσις πρώτη τῆς ἐμῆς γενέσεως· αεηιου ω , ἀρχὴ τῆς ἐμῆς ἀρχῆ 〈σ〉 πρώτη π̇π̇π̇ ς̇ς̇ς̇ φ̇ρ̇ [·] , πνεῦμα πνεύματο ς , τοῦ ἐν ἐμοὶ πνεύματος πρῶτον μ̇μ̇μ̇ ˙, πῦ ρ , τὸ εἰς ἐμὴν κρᾶσιν τῶν ἐν ἐμοὶ κράσεων θεοδώρητο ν , τοῦ ἐν ἐμοὶ πυρὸς πρῶτον ηυ ηια ε η , ὕδωρ ὕδατο ς , τοῦ ἐν ἐμοὶ ὕδατος πρῶτον ωωω ααα εε ε , οὐσία γεώδης τῆς ἐν ἐμοὶ οὐσίας γεώδους πρώτη υη υωη, σῶμα τέλειον ἐμοῦ τοῦ δεῖνα τῆς δεῖνα, διαπεπλασμένον ὑπὸ βραχίονος ἐντίμου καὶ δεξιᾶς χειρὸς ἀφθάρτου ἐν ἀφωτίστῳ καὶ διαυγεῖ κόσμῳ, ἔν τε ἀψύχῳ καὶ ἐψυχωμένῳ υηι αυι ευωιε. ἐὰν δὲ ὑμῖν δόξῃ μετερτα φωθ· (μεθαρθα φηριη ἐν ἄλλῳ) ϊερεζαθ μεταπαραδῶναί με τῇ ἀθανάτῳ γενέσει, ἐχομένως τῇ ὑποκειμένῃ μου φύσει· ἵνα μετὰ τὴν ἐνεστῶσαν καὶ σφόδρα κατεπείγουσάν με χρείαν ἐποπτεύσω τὴν ἀθάνατον ἀρχὴν τῷ ἀθανάτῳ πνεύματι ανχρεφρενεσουφιριγχ· τῷ ἀθανάτῳ ὕδατι ερονουϊ παρακουνηθ, τῷ στερεωτάτῳ ἀέρι εϊοαη ψεναβωθ, ἵνα νοήματι μεταγεν〈ν〉ηθῶ κραοχραξ ρ οϊμ εναρχομαι, καὶ πνεύσῃ ἐν ἐμοὶ τὸ ἱερὸν πνεῦμα νεχθεν αποτου νεχθιν αρπι ηθ, ἵνα θαυμάσω τὸ ἱερὸν πῦρ κυφε, ἵνα θεάσωμαι τὸ ἄβυσσον τῆς ἀνατολῆς φρικτὸν ὕδωρ νυω θεσω εχω ουχιεχωα, καὶ ἀκούσῃ μου ὁ ζωογόνος καὶ περικεχυμένος αἰθήρ αρνομηθφ, ἐπεὶ μέλλω κατοπτεύειν σήμερον τοῖς ἀθανάτοις ὄμμασι, θνητὸς γεννηθεὶς ἐκ θνητῆς ὑστέρας, βεβελτιωμένος ὑπὸ κράτους μεγαλοδυνάμου καὶ δεξιᾶς χειρὸς ἀφθάρτου, ἀθανάτῳ πνεύματι τὸν ἀθάνατον Αἰῶνα καὶ δεσπότην τῶν πυρίνων διαδημάτων, ἁγίοις ἁγιασθεὶς ἁγιάσμασι, ἁγίας ὑφεστώσης μου πρὸς ὀλίγον τῆς ἀνθρωπίνης μου ψυχικῆς δυνάμεως, ἣν ἐγὼ πάλιν μεταπαραλήμψομαι μετὰ τὴν ἐνεστῶσαν καὶ κατεπείγουσάν με πικρὰν ἀνάγκην ἀχρεοκόπητον, ἐγὼ ὁ δεῖνα, ὃν ἡ δεῖνα, κατὰ δόγμα θεοῦ ἀμετάθετον ευη υϊα εηι αω εϊαυ ϊυα ϊεω.

ἐπεὶ οὐκ ἔστιν μοι ἐφικτὸν θνητὸν γεγῶτα συνα〈ν〉ιέναι ταῖς χρυσοειδέσιν μαρμαρυγαῖς τῆς ἀθανάτου λαμπηδόνος ωηυ αεω ηυα εωη υαε ωιαε, ἔσταθι, φθαρτὴ βροτῶν φύσι, καὶ αὐτίκα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈ἀνάλαβέ〉 με ὑγιῆ μετὰ τὴν ἀπαραίτητον καὶ κατεπε[ί-] γουσαν χρείαν. ἐγὼ γάρ εἰμι ὁ υἱὸς ψυχ ω[ν] δεμου προχω πρωα, ἐγώ εἰμι μαχαρφ[ . ]ν μου πρωψυχων πρωε.‘ ἕλκε ἀπὸ τῶν ἀκτίνων πνεῦμα γ′ ἀνασπῶν, ὃ δύνα[σ]αι, καὶ ὄψῃ σεαυτὸν ἀνακουφιζόμενον [κ]αὶ ὑπερβαίνοντα εἰς ὕψος, ὥστε σε δοκεῖ[ν μ]έσον τοῦ ἀέρος εἶναι. οὐδενὸς δὲ ἀκούσει [ο]ὔτε ἀνθρώπου οὔτε ζῴου ἄλλ〈ου〉, οὐδὲ ὄψῃ οὐδὲν τῶν ἐπὶ γῆς θνητῶν ἐν ἐκείνῃ τῇ ὥρᾳ, πάντα δὲ ὄψῃ ἀθάνατα· ὄψῃ γὰρ ἐκείνης τῆς ἡμέρας καὶ τῆς ὥρας θείαν θέσιν, τοὺς πολεύοντας ἀναβαίνοντας εἰς οὐρανὸν θεούς, ἄλλους δὲ καταβαίνοντας. ἡ δὲ πορεία τῶν ὁρωμένων θεῶν διὰ τοῦ δίσκου, πατρός μου, θεοῦ, φανήσεται, ὁμοίως δὲ καὶ ὁ καλούμενος αὐλός, ἡ ἀρχὴ τοῦ λειτουργοῦντος ἀνέμου· ὄψῃ γὰρ ἀπὸ τοῦ δίσκου ὡς αὐλὸν κρεμάμενον.

εἰς δὲ τὰ μέρη τὰ πρὸς λίβα ἀπέραντον οἷον ἀπηλιώτην, ἐὰν ᾖ κεκληρωμένος εἰς τὰ μέρη τοῦ ἀπηλιώτου, καὶ ὁ ἕτερος ὁμοίως εἰς τὰ μέρη τὰ ἐκείνου, ὄψῃ τὴν ἀποφορὰν τοῦ ὁράματος· ὄψῃ δὲ ἀτενίζοντάς σοι τοὺς θεοὺς καὶ ἐπί σε ὁρμωμένους. σὺ δὲ εὐθέως ἐπίθες δεξιὸν δάκτυλον ἐπὶ τὸ στόμα καὶ λέγε· ‘σιγή, σιγή, σιγή, σύμβολον θεοῦ ζῶντος ἀφθάρτου· φύλαξόν με, σιγή νεχθειρ θανμελου‘ , ἔπειτα σύρισον μακρὸν συριγμόν, ἔπειτα πόππυσον λέγων· ‘προπροφεγγῆ μοριος προφυρ προφεγγῆ νεμεθιρε αρψεντεν πιτητμι μεωυ εναρθ φυρκεχω ψυριδαριω τυρη φιλβα‘ καὶ τότε ὄψῃ τοὺς θεούς σοι εὐμενῶς ἐμβλέποντας καὶ μηκέτι ἐπί σε ὁρμωμένους, ἀλλὰ πορευομένους ἐπὶ τὴν ἰδίαν τάξιν τῶν πραγμάτων. ὅταν οὖν ἴδῃς τὸν ἄνω κόσμον καθαρὸν καὶ δονούμενον καὶ μηδένα τῶν θεῶν ἢ ἀγγέλων ὁρ〈μ〉ώμενον, προσδόκα βροντῆς μεγάλης ἀκούσεσθαι κτύπον, ὥστε σε ἐκπλαγῆναι. σὺ δὲ πάλιν λέγε· ‘σιγή, σιγή (λόγος), ἐγώ εἰμι σύμπλανος ὑμῖν ἀστήρ, καὶ ἐκ τοῦ βάθους ἀναλάμπων οξυ ο ξερθευθ.‘ ταῦτά σου εἰπόντος εὐθέως ὁ δίσκος ἁπλωθήσεται. μετὰ δὲ τὸ εἰπεῖν σε τὸν β′ λόγον, ὅπου ‘σιγή, σιγή‘ καὶ τὰ ἀκόλουθα, σύρισον β′ καὶ πόππυσον β′, καὶ εὐθέως ὄψῃ ἀπὸ τοῦ δίσκου ἀστέρας προσερχομένους πενταδακτυλιαίους πλείστους καὶ πιπλῶντας ὅλον τὸν ἀέρα. σὺ δὲ πάλιν λέγε· ‘σιγή, σιγή.‘ καὶ τοῦ δίσκου ἀνυγέντος ὄψῃ ἄπυρον κύκλωμα καὶ θύρας πυρίνας ἀποκεκλεισμένας. σὺ δὲ εὐθέως δίωκε τὸν ὑποκείμενον λόγον καμμύων σου τοὺς ὀφθαλμούς. λόγος γ′· ‘ἐπάκουσόν μου, ἄκουσόν μου τοῦ δεῖνα τῆς δεῖνα, κύριε, ὁ συνδήσας πνεύματι τὰ πύρινα κλῆθρα τοῦ τετραλιζώματος, πυρίπολε, πεντιτερουνι, φωτὸς κτίστα (οἱ δὲ· συνκλεῖστα) Σεμεσιλαμ, πυρίπνοε ψυρινφευ, πυρίθυμε Ἰάω, πνευματόφως ωαϊ, πυριχαρῆ ἔλουρε, καλλίφως αζαϊ, Αἰών αχβα, φωτοκράτωρ πεππερ πρεπεμπιπι, πυρισώματε φνουηνιοχ, φωτοδῶτα, πυρισπόρε αρει εϊκιτα, πυρικλόνε γαλλαβαλβα, φωτοβίαιε αιω, πυριδῖνα πυριχι βοοσηια, φωτοκινῆτα σανχερωβ, κεραυνοκλόνε ιη ωη ιωηιω, φωτὸς κλέος βεεγένητε, αὐξησίφως σουσινεφιεν, πυρισχησίφως σουσϊνεφι αρενβαραζει μαρμαρεντευ ἀστροδάμα· ἄνοιξόν μοι, προπροφεγγή, εμεθειρε μοριομοτυρηφιλβα, ὅτι ἐπικαλοῦμαι ἕνεκα τῆς κατεπειγούσης καὶ πικρᾶς καὶ ἀπαραιτήτου ἀνάγκης τὰ μηδέπω χωρήσαντα εἰς θνητὴν φύσιν μηδὲ φρασθέντα ἐν διαρθρώσει ὑπὸ ἀνθρωπίνης γλώσσης ἢ θνητοῦ φθόγγου ἢ θνητῆς φωνῆς ἀθάνατα ζῶντα καὶ ἔντιμα ὀνόματα· ηεω οηεω ιωω οη ηεω ηεω οη εω ιωω οηηε ωηε ωοη ιη ηω οω οη ιεω οη ωοη ιεω οη ιεεω εη ιω οη ιοη ωηω εοη οεω ωιη ωιη εω οι ιιι ηοη ωυη ηωοηε εω ηια αηα εηα ηεεη εεη εεη ιεω ηεω οηεεοη ηεω ηυω οη εϊω ηω ωη ωη εε οοο υιωη.

‘ ταῦτα πάντα λέγε μετὰ πυρὸς καὶ πνεύματος τὸ πρῶτον ἀποτελῶν, εἶτα ὁμοίως τὸ δεύτερον ἀρχόμενος, ἕως ἐκτελέσῃς τοὺς ζ′ ἀθανάτους θεοὺς τοῦ κόσμου. ταῦτά σου εἰ πόντος ἀκούσει βροντῆς καὶ κλόνου τοῦ περιέχοντος. ὁμοίως δὲ σεαυτὸν αἰσθηθήσει ταρασσόμενον. σὺ δὲ πάλιν λέγε· ‘σιγή‘ (λόγος), εἶτα ἄνοιξον τοὺς ὀφθαλμοὺς καὶ ὄψῃ ἀνεῳγυΐας τὰς θύρας καὶ τὸν κόσμον τῶν θεῶν, ὅς ἐστιν ἐντὸς τῶν θυρῶν, ὥστε ἀπὸ τῆς τοῦ θεάματος ἡδονῆς καὶ τῆς χαρᾶς τὸ πνεῦμά σου συντρέχειν καὶ ἀναβαίνειν. στὰς οὖν εὐθέως ἕλκε ἀπὸ τοῦ θείου ἀτενίζων εἰς σεαυτὸν τὸ πνεῦμα. ὅταν οὖν ἀποκατασταθῇ σου ἡ ψυχή, λέγε· ‘πρόσελθε, κύριε, αρχανδαρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φωταζα πυριφωτα ζαβυθιξ ετιμενμερο φοραθην ερι̣η προθρι φοραθι.ʻ τοῦτο εἰπόντος στραφήσονται ἐπί σε αἱ ἀκτῖνες· ἔσιδε αὐτῶν μέσον. ὅταν οὖν τοῦτο ποιήσῃς, ὄψῃ θεὸν νεώτερον, εὐειδῆ, πυρινότριχα, ἐν χιτῶνι λευκῷ καὶ χλαμύδι κοκκίνῃ ἔχοντα πύρινον στέφανον. εὐθέως ἄσπασαι αὐτὸν τῷ πυρίνῳ ἀσπαστικῷ· ʻκύριε, χαῖρε, μεγαλοδύναμε, με 〈γα〉 λοκράτωρ, βασιλεῦ, μέγιστε θεῶν, Ἥλιε, ὁ κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, θεὲ θεῶν, ἰσχύει σου ἡ πνοιή, ἰσχύει σου ἡ δύναμις, κύριε· ἐάν σοι δόξῃ, ἄγγειλόν με τῷ μεγίστῳ θεῷ, τῷ σε γεννήσαντι καὶ ποιήσαντι, ὅτι ἄνθρωπος, ἐγὼ ὁ δεῖνα τῆς δεῖνα, γενόμενος ἐκ θνητῆς ὑστέρας τῆς δεῖνα καὶ ἰχῶρος σπερματικοῦ καὶ, σήμερον τούτου ὑπό σου με 〈τα〉 γεννηθέντος, ἐκ τοσούτων μυριάδων ἀπαθανατισθεὶς ἐν ταύτῃ τῇ ὥρᾳ κατὰ δόκησιν θεοῦ, ὑπερβαλλόντως ἀγαθοῦ, προσκυνῆσαί σε ἀξιοῖ καὶ δέεται κατὰ δύναμιν ἀνθρωπίνην (ἵνα συνπαραλάβῃς τὸν τῆς σήμερον ἡμέρας καὶ ὥρας ὡρονόμον, ᾧ ὄνομα θραψιαρι · μοριροκ, ἵνα φανεὶς χρηματίσῃ ἐν ταῖς ἀγαθαῖς ὥραις· εωρω ρωρε ωρρι ωριωρ ρωρ ρωι ωρ ρεωρωρι εωρ εωρ εωρ εωρε)ʻ. [655]

4 (650) ταῦτά σου εἰπόντος ἐλεύσεται εἰς τὸν πόλον, καὶ ὄψῃ αὐτὸν περιπατοῦντα ὡς ἐν ὁδῷ. σὺ δὲ ἀτενίζων καὶ μύκωμα μακρὸν κερατοειδῶς, ὅλον ἀποδιδοὺς τὸ πνεῦμα, βασανίζων τὴν λαγόνα, μυκῶ καὶ καταφίλει τὰ φυλακτήρια καὶ λέγε, πρῶτον εἰς τὸ δεξιόν· ʻφύλαξόν με προσυμηρι.ʻ ταῦτα εἰπὼν ὄψῃ θύρας ἀνοιγομένας καὶ ἐρχομένας ἐκ τοῦ βάθους ζʹ παρθένους ἐν βυσσίνοις, ἀσπίδων πρόσωπα ἐχούσας. αὗται καλοῦνται οὐρανοῦ Τύχαι, κρατοῦσαι χρύσεα βραβεῖα. ταῦτα ἰδὼν ἀσπάζου οὕτως· ʻχαίρετε, αἱ ζʹ Τύχαι τοῦ οὐρανοῦ, σεμναὶ καὶ ἀγαθαὶ παρθένοι, ἱεραὶ καὶ ὁμοδίαιτοι τοῦ μινιμιρροφορ, αἱ ἁγιώταται φυλάκισσαι τῶν τεσσάρων στυλίσκων. χαῖρε, ἡ πρώτη, χρεψενθαης, χαῖρε, ἡ βʹ, μενεσχεης , χαῖρε, ἡ γʹ, μεχραν , χαῖρε ἡ δʹ, αραρμαχης , χαῖρε, ἡ εʹ, εχομμιη , χαῖρε, ἡ ϛʹ, τιχνονδαης, χαῖρε, ἡ ζʹ, Ἐρού, ρομβριης.ʻ προέρχονται δὲ καὶ ἕτεροι ζʹ θεοὶ ταύρων μελάνων πρόσωπα ἔχοντες ἐν περιζώμασιν λινοῖς κατέχοντες ζʹ διαδήματα χρύσεα. οὗτοί εἰσιν οἱ καλούμενοι πολοκράτορες τοῦ οὐρανοῦ, οὓς δεῖ σε ἀσπάσασθαι ὁμοίως ἕκαστον τῷ ἰδίῳ αὐτῶν ὀνόματι· ʻχαίρετε, οἱ κνωδακοφύλακες, οἱ ἱεροὶ καὶ ἄλκιμοι νεανίαι, οἱ στρέφοντες ὑπὸ ἓν κέλευσμα τὸν περιδίνητον τοῦ κύκλου ἄξονα τοῦ οὐρανοῦ καὶ βροντὰς καὶ ἀστραπὰς καὶ σεισμῶν καὶ κεραυνῶν βολὰς ἀφιέντες εἰς δυσσεβῶν φῦλα, ἐμοὶ δὲ εὐσεβεῖ καὶ θεοσεβεῖ ὄντι ὑγείαν καὶ σώματος ὁλοκληρίαν, ἀκοῆς τε καὶ ὁράσεως εὐτονίαν, ἀταραξίαν ἐν ταῖς ἐνεστώσαις τῆς σήμερον ἡμέρας ἀγαθαῖς ὥραις, οἱ κύριοί μου καὶ μεγαλοκράτορες θεοί· χαῖρε, ὁ πρῶτος, αϊερωνθι, χαῖρε, ὁ βʹ, μερχειμερος, χαῖρε, ὁ γʹ, αχριχιουρ, χαῖρε, ὁ δʹ, μεσαργιλτω, χαῖρε, ὁ εʹ, χιχρωαλιθω, χαῖρε, ὁ ϛʹ, ερμιχθαθωψ, χαῖρε, ὁ ζʹ, εορασιχη.ʻ ὅταν δὲ ἐνστῶσιν ἔνθα καὶ ἔνθα τῇ τάξει, ἀτένιζε τῷ ἀέρι καὶ ὄψῃ κατερχομένας ἀστραπὰς καὶ φῶτα μαρμαίροντα καὶ σειομένην τὴν γῆν καὶ κατερχόμενον θεὸν ὑπερμεγέθη, φωτινὴν ἔχοντα τὴν ὄψιν, νεώτερον, χρυσοκόμαν, ἐν χιτῶνι λευκῷ καὶ χρυσῷ στεφάνῳ καὶ ἀναξυρίσι, κατέχοντα τῇ δεξιᾷ χειρὶ μόσχου ὦμον χρύσεον, ὅς ἐστιν Ἄρκτος ἡ κινοῦσα καὶ ἀντιστρέφουσα τὸν οὐρανόν, κατὰ ὥραν ἀναπολεύουσα καὶ καταπολεύουσα. [695]

4 (700) ἔπειτα ὄψῃ αὐτοῦ ἐκ τῶν ὀμμάτων ἀστραπὰς καὶ ἐκ τοῦ σώματος ἀστέρας ἁλλομένους. σὺ δὲ εὐθέως μύκωμα μακρόν, βασανίζων τὴν γαστέρα, ἵνα συνκινήσῃς τὰς πέντε αἰσθήσεις, μακρὸν εἰς ἀπόθεσιν, μυκῶ καταφιλῶν πάλιν τὰ φυλακτήρια καὶ λέγων· ʻμοκριμο φεριμοφερερι ζω 〈ή〉 μου, τοῦ δεῖνα, μένε σύ, νέμε ἐν τῇ ψυχῇ μου, μή με καταλείψῃς, ὅτι κελεύει σοι ενθο φενεν θροπιωθ.ʻ καὶ ἀτένιζε τῷ θεῷ μακρὸν μυκώμενος καὶ ἀσπάζου οὕτως· ʻκύριε, χαῖρε, δέσποτα ὕδατος, χαῖρε, κατάρχα γῆς, χαῖρε, δυνάστα πνεύματος, λαμπροφεγγῆ, προπροφεγγῆ, εμεθιρι αρτεντεπι· θηθ· μιμεω υεναρω φυρχεχω ψηρι δαριω· Φρῆ Φρηλβα· χρημάτισον, κύριε, περὶ τοῦ δεῖνα πράγματος. κύριε, παλινγενόμενος ἀπογίγνομαι, αὐξόμενος καὶ αὐξηθεὶς τελευτῶ, ἀπὸ γενέσεως ζωογόνου γενόμενος, εἰς ἀπογενεσίαν ἀναλυθεὶς πορεύομαι, ὡς σὺ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔκτισας, ὡς σὺ ἐνομοθέτησας καὶ ἐποίησας μυστήριον. ἐγώ εἰμι φερουρα μιουρι.‘ ταῦτά σου εἰπόντος εὐθέως χρησμῳδήσει. ὑπέκλυτος δὲ ἔσει τῇ ψυχῇ καὶ οὐκ ἐν σεαυτῷ ἔσει, ὅταν σοι ἀποκρίνηται. λέγει δέ σοι διὰ στίχων τὸν χρησμὸν καὶ εἰπὼν ἀπελεύσεται, σὺ δὲ στήκεις ἐνεός, ὡς ταῦτα πάντα χωρήσεις αὐτομάτως, καὶ τότε μνημονεύσεις ἀπαραβάτως τὰ ὑπὸ τοῦ μεγάλου θεοῦ ῥηθέντα, κἂν ἦν μυρίων στίχων ὁ χρησμός. ἐὰν δὲ θέλῃς καὶ συνμύστῃ χρήσασθαι ὥστε τὰ λεγόμενα ἐκεῖνον μόνον σύν σοι ἀκούειν, συναγνευέτω σοι 〈ζ′〉 ἡμέρας καὶ ἀποσχέσθω ἐμψύχων καὶ βαλανείου. ἐὰν δὲ καὶ μόνος ᾖς καὶ ἐγχειρῇς τὰ ὑπὸ τοῦ θεοῦ εἰρημένα, λέγεις ὡς ἐν ἐκστάσει ἀποφοιβώμενος. ἐὰν δὲ καὶ δεῖξαι αὐτῷ θέλῃς, κρίνας, εἰ ἄξιός ἐστιν ἀσφαλῶς ὡς ἄνθρωπος, χρησάμενος τῷ τ〈ρ〉όπῳ, ὡς ὑπὲρ αὐτοῦ κρινόμενος ἐν τῷ ἀπαθαν〈ατ〉ισμῷ, τὸν πρῶτον ὑπόβαλε αὐτῷ λόγον, οὗ ἡ ἀρχή· ‘γένεσις πρώτη τῆς ἐμῆς γενέσεως αεηιουω.‘ τὰ δὲ ἑξῆς ὡς μύστης λέγε αὐτοῦ ἐπὶ τῆς κεφαλῆς ἀτόνῳ φθόγγῳ, ἵνα μὴ ἀκούσῃ, χρίων αὐτοῦ τὴν ὄψιν τῷ μυστηρίῳ. γίγνεται δὲ ὁ ἀπαθανατισμὸς οὗτος τρὶς τοῦ ἐνιαυτοῦ. ἐὰν δὲ βουληθῇ τις, ὦ τέκνον, μετὰ τὸ παράγγελμα παρακοῦσαι, τῷ οὐκέτι ὑπάρξει.

4 (750) Διδασκαλία τῆς πράξεως· λαβὼν κάνθαρον ἡλιακὸν τὸν τὰς ιβ ἀκτῖνας ἔχοντα ποίησον εἰς βησίον καλλάϊνον βαθὺ ἐν ἁρπαγῇ τῆς σελήνης βληθῆναι, συνεμβαλὼν αὐτῷ λωτομήτρας σπέρμα καὶ μέλι λειώσας ποίησον μαζίον, καὶ εὐθέως αὐτὸν ὄψῃ προσερχόμενον καὶ ἐσθίοντα, καὶ ὅταν φάγῃ, εὐθέως θνῄσκει. τοῦτον ἀνελόμενος βάλε εἰς ἀγγεῖον ὑελοῦν μύρου ῥοδίνου καλλίστου, ὅσον βούλει, καὶ στρώσας καθαρείως ἄμμον ἱερὰν ἐπίθες τὸ ἀγγεῖον καὶ λέγε τὸ ὄνομα ἐπὶ τοῦ ἄγγους ἐπὶ ἡμέρας ζ′ ἡλίου μεσουρανοῦντος· ‘ἐγώ σε ἐτέλεσα, ἵνα μοι ἥ σου οὐσία γένῃ χρήσιμος, τῷ δεῖνα μόνῳ ιε ια η εη ου εια· ἐμοὶ μόνῳ χρησιμεύσῃς· ἐγὼ γάρ εἰμι φωρ φορα φως φοτιζαας (οἱ δέ· φωρ φωρ οφοθει ξαας). ‘ τῇ δὲ ζ′ ἡμέρᾳ βαστάξας τὸν κάνθαρον, θάψας ζμύρνῃ καὶ οἴνῳ Μενδησίῳ καὶ βυσσίνῳ ἀπόθου ἐν κυαμῶνι ζωοφυτοῦντι. τὸ δὲ χρῖσμα ἑστιάσας καὶ συνευωχηθεὶς ἀπόθου καθαρείως εἰς τὸν ἀπαθανατισμόν. ἐὰν δὲ ἄλλῳ θέλῃς δεικνύειν, ἔχε τῆς καλουμένης βοτάνης κεντρίτιδος χυλὸν περιχρίων τὴν ὄψιν, οὗ βούλει, μετὰ ῥοδίνου, καὶ ὄψεται δηλαυγῶς ὥστε σε θαυμάζειν. τούτου μεῖζον’ οὐχ εὗρον ἐν τῷ κόσμῳ πραγματείαν. αἰτοῦ δέ, ἃ βούλει, τὸν θεόν, καὶ δώσει σοι. ἡ δὲ τοῦ μεγάλου θεοῦ σύστασίς ἐστιν ἥδε· βαστάξας κεντρῖτιν τὴν προκειμένην βοτάνην τῇ συνόδῳ τῇ γενομένῃ λέοντι ἆρον τὸν χυλὸν καὶ μίξας μέλιτι καὶ ζμύρνῃ γράψον ἐπὶ φύλλου περσέας τὸ ὀκταγράμματον ὄνομα, ὡς ὑπόκειται, καὶ πρὸ γ′ ἡμερῶν ἁγνεύσας ἐλθὲ πρωίας πρὸς ἀνατολάς, ἀπόλειχε τὸ φύλλον δεικνύων ἡλίῳ, καὶ οὕτως ἐπακούσεται τελείως. ἄρχου δὲ αὐτὸν τελεῖν τῇ ἐν λέοντι κατὰ θεὸν νουμηνίᾳ. τὸ δὲ ὄνομά ἐστιν τοῦτο· ϊ εε οο ϊαϊ. τοῦτο ἔκλειχε, ἵνα φυλακτηριασθῇς, καὶ τὸ φύλλον ἑλίξας ἔμβαλε εἰς τὸ ῥόδινον. πολλάκις δὲ τῇ πραγματείᾳ χρησάμενος ὑπερεθαύμασα. εἶπεν δέ μοι ὁ θεός· ‘μηκέτι χρῶ τῷ συγχρίσματι, ἀλλὰ ῥίψαντα εἰς ποταμὸν 〈χρὴ〉 χρᾶσθαι φοροῦντα τὸ μέγα μυστήριον τοῦ κανθάρου τοῦ ἀναζωπυρηθέντος διὰ τῶν κε ζῴων ὄρνεων, χρᾶσθαι ἅπαξ τοῦ μηνὸς, ἀντὶ τοῦ κατὰ ἔτος γ′, κατὰ πανσέληνον.‘ ἡ δὲ κεντρῖτις βοτάνη φύεται ἀπὸ μηνὸς Παϋνὶ ἐν τοῖς μέρεσι τῆς μελάνης γῆς, ὁμοία δέ ἐστιν τῷ ὀρθῷ περιστερεῶνι.

4 (800) ἡ δὲ γνῶσις αὐτῆς οὕτως γίγνεται· ἴβεως πτερὸν χρίεται τὸ ἀκρομέλαν χαλασθὲν τῷ χυλῷ καὶ ἅμα τῷ θιγεῖν ἀποπίπτει τὰ πτερά. τοῦτο τοῦ κυρίου ὑποδείξαντος εὑρέθη ἐν τῷ Μενελαΐτῃ ἐν τῇ Φαλαγρὺ πρὸς ταῖς ἀναβολαῖς πλησίον τοῦ Βησάδος βοτάνης. ἔστιν δὲ μονόκλωνον καὶ πυρρὸν ἄχρι τῆς ῥίζης καὶ τὰ φύλλα οὐλότερα καὶ τὸν καρπὸν ἔχοντα ὅμοιον τῷ κορύμβῳ ἀσπαράγου ἀγρίου. ἔστιν δὲ παραπλήσιον τῷ καλουμένῳ ταλάπῃ, ὡς τὸ ἄγριον σεῦτλον. τὰ δὲ φυλακτήρια ἔχει τὸν τρόπον τοῦτον· τὸ μὲν δεξιὸν γράψον εἰς ὑμένα προβάτου μέλανος ζμυρνομέλανι, τὸ δὲ αὐτὸ δήσας νεύροις τοῦ αὐτοῦ ζώου περίαψαι, τὸ δὲ εὐώνυμον εἰς ὑμένα λευκοῦ προβάτου καὶ χρῶ τῷ αὐτῷ τρόπῳ. εὐώνυμ〈ον τ〉οῦ ‘προσθυμηρι‘ πληρέστατον καὶ

τὸ ὑπόμνημα ἔχει· ‘ὣς εἰπὼν τάφροιο διήλασε μώνυχας ἵππους·‘ ‘ἄνδρας τ’ ἀσπαίροντας ἐν ἀργαλέοισι φόνοισι‘ ‘αὐτοὶ δ’ ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ·‘ ‘τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι.‘ ἀνέβη Ζεὺς εἰς ὄρος χρυσοῦν μόσχον ἔχων καὶ μάχαιραν ἀργυρέαν· πᾶσιν μέρος ἐπέδωκεν, Ἀμάρᾳ μόνον οὐκ ἔδωκεν, εἶπεν δέ· ‘ἔξαφες, ὃ ἔχεις, καὶ τότε λήψει ψινωθερ νωψιθερ θερνωψι‘ (κοινόν). ‘τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ’ Ἐπιάλτης.‘ Θυμοκάτοχον · ‘τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι.‘ Πρὸς φίλους · ‘αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσιν.‘ Ἀπὸ ἐτῶν νγ καὶ μηνῶν θʹ ἔλαβεν τοὺς χρόνους Ἑρμῆς ἐπὶ ἔτη ιʹ καὶ μῆνας θʹ, ἀφ’ ὧν ἑαυτῷ ἐπιμερίζει μῆνας κʹ, ὡς εἶναι ἔτη νε μῆνας εʹ, εἶτα Ἀφροδίτῃ μῆνας ηʹ, ὡς εἶναι καὶ ὧδε ἔτη νς μῆνα αʹ, εἶτα Ἡλίῳ μῆνας ιθ , ὡς εἶναι ἔτη νζ μῆνας ηʹ. ἐν τούτοις ἐπιμεριζομένοις Ἡλίῳ χρόνοις, τοῦτ’ ἔστιν τοῖς ιθ μησίν, ἐπιβαλοῦ, εἰς ὃ ζητεῖς. μετὰ τοῦτο ἐπιμερίζει Ἄρεϊ μῆνας ιε , ὡς εἶναι ἔτη νη μῆνας ια . οὗτοι ἐναντίοι χρόνοι. εἶτα Σελήνῃ μῆνας κε , ὡς εἶναι ἔτη ξα . οὗτοι καλοί. εἶτα Διῒ μῆνας ιβ , ὡς εἶναι ἔτη ξβ . οὗτοι καλοί. εἶτα Κρόνῳ μῆνας λʹ, ὡς εἶναι ἔτη ξδς . οὗτοι σωματικῶς φαῦλοι, ἐν οἷς καὶ κλιμακτῆρες. [845]

4 (850) Σολομῶνος κατάπτωσι ς , καὶ ἐπὶ παίδων καὶ τελείων ποιοῦσα· ὄμνυμί σοι θεούς τε ἁγίους καὶ θεοὺς οὐρανίους μηδενὶ μεταδοῦναι τὴν Σολομῶνος πραγματείαν μηδὲ μὴν ἐπί του εὐχεροῦς πράττειν, εἰ μή σε πρᾶγμα ἀναγκαῖον ἐπείξῃ, μή πώς σοι μῆνις τηρηθείη. λόγος λεγόμενος· ‘Οὐριωρ· Ἀμήν ιμ ταρ χωβ· κλαμφωβ· Φρῆ· φρωρ· Πταρ· Οὔσιρι· σαϊωβ· τηλω καβη· μαναταθωρ· ασιωρικωρ· βηεινωρ· Ἀμοῦν ωμ· μηνιχθα· μαχθα· χθαρα· αμαχθα αου· αλακαμβωτ· βησινωρ· αφησιωρ· φρηφ ἀμηϊ ουρ· λαμασιρ· χηριωβ· πιτρημ· φηωφ· νιριν· αλλανναθαθ· χηριωχ· ωνη· Βούσιρι· νινουνο· αμαναλ· γαγωσαριηρ μηνιαμ· τληρ· ооо αα· ετνη· Οὔσιρι· Οὔσιρι ουρισι· ουρισι· μηνημβ μνημ· Βραβηλ· τνηκαιωβ. ἐπάκουσόν μου, τῆς ἁγίας μου φωνῆς, ὅτι ἐπικαλοῦμαί σου τὰ ἅγια ὀνόματα, καὶ δήλωσόν μοι, περὶ οὗ θέλω πράγματος, διὰ τοῦ δεῖνα ἀνθρώπου ἢ παιδίου, ἐπεὶ οὐκ ἀρκέσομαί σου τὰ ἅγια καὶ ἀμίαντα ὀνόματα. ἐλθέ μοι, ὁ γενάμενος Ἑσιης καὶ ποταμοφόρητος, ἔμπνευσον τῷ δεῖνα ἀνθρώπῳ ἢ παιδί, περὶ οὗ σου πυνθάνομαι· Βαρβήθ· μνωρ· αραριακ· ταρηριμ· ωαρ· τηρωκ· σανιωρ μηνικ· φαυεκ· δαφοριουμιν· λαριωρ· ητνιαμιμ· κνως· χαλακθιρ· κρωφηρ· φησιμωτ· πρηβιβ· κναλα· ηριβητιμ· γνωρι· δεῦρό μοι διὰ τοῦ δεῖνα ἀνθρώπου ἢ παιδίου καὶ ἐξήγησόν μοι μετὰ ἀκριβείας, ἐπεί σου λέγω τὰ ὀνόματα, ἃ ἔγραψεν ἐν Ἡλιουπόλει ὁ τρισμέγιστος Ἑρμῆς ἱερογλυφικοῖς γράμμασι· ἁρβακωριφ· μηνιαμ· ωβαωβ· αβνιωβ· μηριμ· βαϊαξ· χενωρ· φηνιμ· ωρα· ωρησιου· Οὔσιρι· Πνιαμούσιρι· Φρηούσιρι· Ὡριούσιρι· Ναειωρούσιρι· Μηνιμούσιρι· Μνηκούσιρι· Φληκούσιρι· Πηληλούσιρι· ωνιω· Ῥαβκούσιρι· Ἀνιωβούσιρι· Ἀμηαούσιρι Ἀνωρούσιρι· Ἀμηνηφηούσιρι· Ἀμηνιούσιρι· ξωνιωρ· Ἠουρούσιρι· δήλωσόν μοι περὶ τοῦ δεῖνα πράγματος εἰσβὰς εἰς αὐτόν.‘ τὸν δεῖνα ἄνθρωπον ἁγνίσας ἀπὸ συνουσίας ἐπὶ ἡμέρας γʹ καὶ σὺ ἅμ’ αὐτῷ ἁγνὸς εἴσελθε, καὶ ἄρας αὐτὸν εἰς ὕπαιθρον τόπον κάθισον αὐτὸν εἰς πλίνθους ὠμὰς καὶ στολίσας αὐτὸν δὸς αὐτῷ ἀνουβιάδα τὸν στάχυν καὶ ἱερακῖτιν [τὴν] βοτάνην εἰς τὸ φυλαχθῆναι αὐτόν. [901]

4 (900) καὶ σὺ δὲ περίζωσαι σεβενίνῳ ἀρσενικοῦ φοίνικος καὶ τὰς χεῖρας ἀνατείνας εἰς οὐρανὸν πρὸς τὰς τοῦ ἡλίου ἀκτῖνας λέγε τὸν λόγον ζʹ, εἶτα ἐπίθυε λίβανον ἀρσενικόν, εἰς ἀμπέλινα ξύλα σπείσας οἶνον ἢ ζύτον ἢ μέλι ἢ γάλα βοὸς μελαίνης, εἶτα οὕτως εἰς τὸ οὖς τοῦ δεῖνα ἀνθρώπου ἢ παιδίου ἐπίλεγε ζʹ τὸν λόγον, καὶ εὐθέως πεσεῖται. σὺ δὲ καθέζου ἐπὶ ταῖς πλίνθοις καὶ πυνθάνου, καὶ πάντα ἀληθῆ διηγεῖται. χρὴ δὲ στεφανῶσαι αὐτὸν στεφάνῳ ἀρτεμισίας χλωρικῆς, αὐτόν τε καί σε· ἥδεται δὲ ὁ θεὸς τῇ βοτάνῃ. ἀπόλυσις τοῦ κυριακοῦ· εἰς τὸ οὖς τοῦ δεῖνα· ‘ανανακ· αρβεουηρι· αεηιουω.‘ ἐὰν δὲ βραδύνῃ, ἐπίθυε εἰς τοὺς ἄνθρακας τοὺς ἀμπελίνους σήσαμον 〈καὶ〉 μελάνθιον λέγων· ‘ανανακ· ωρβεουσιρι· αεηιουω, χώρει, κύριε, εἰς τοὺς οἰκείους σου θρόνους καὶ διαφύλαξον τὸν δεῖνα ἀπὸ πάσης κακίας.‘ τελείως ἔμαθες· κρύβε. ἡ ἐξήχησίς ἐστιν ἥδε· στῆκε ἀπὸ μακρόθεν τοῦ παιδὸς ἢ τοῦ ἀνθρώπου ἔχων τὰς χεῖρας

ἐπὶ τῶν γλουτῶν ἐκτεταμένας, κεκολλημένους ἔχων τοὺς πόδας ἐπὶ τῆς γῆς δίωκε πολλάκις, ἕως κινηθῇ ἤτοι ἐπὶ τὰ δεξιὰ ἢ ἐπὶ τὰ ἀριστερά· ‘Ἀμοῦν ηει αβριαθ· κιχωπ ωτεμ· πιθ.‘ εἶτα ὡς κύων. Αὔτοπτο ς . σύστασις, ἣν πρῶτον λέγεις πρὸς ἀνατολὴν ἡλίου, εἶτα ἐπὶ τοῦ λύχνου ὁ αὐτὸς λόγος λεγόμενος πρῶτος, ὅταν μαντεύῃ, ἠμφιεσμένος προφητικῷ σχήματι, κούκινα ὑποδεδεμένος καὶ ἐστεμμένος τὴν κεφαλήν σου κλωνὶ ἐλαίας—ἐχέτω δὲ ὁ κλὼν ἐν μέσῳ σκόρδον μονογενὲς περιδεδεμένον—κρατῶν ψῆφον γχξγ ἐπὶ μασθούς, καὶ οὕτως κάλει. λόγος· ‘χαῖρε, δράκων ἀκμαῖέ τε λέων, φυσικαὶ πυρὸς ἀρχαί, χαῖρε δέ, λευκὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον καὶ χρυσοῦ κυαμῶνος ἀναθροΐσκων μελίλωτον, καὶ καθαρῶν στομάτων ἀφρὸν ἥμερον ἐξαναβλύζων, κάνθαρε, κύκλον ἄγων σπορίμου πυρός, αὐτογένεθλε, ὅτι δισύλλαβος εἶ, ΑΗ, καὶ πρωτοφανὴς εἶ, νεῦσον ἐμοί, λίτομαι, ὅτι σύμβολα μυστικὰ φράζω· ηω αι ου αμερρ οουωθ· ιυΐωη· Μαρμαραυώθ· Λαΐλαμ· σουμαρτα· ἵλαθί μοι, προπάτωρ, καί μοι σθένος αὐτὸς ὀπάζοις. ἔχε συνεστάμενον, κύριε, καὶ ἐπήκοός μοι γενοῦ, δι’ ἧς πράσσω σήμερον αὐθοψίας, καὶ χρημάτισόν μοι, περὶ ὧν ἀξιῶ σε, διὰ τῆς αὐτόπτου λυχνομαντίας, δι’ ἧς πράσσω σήμερον ἐγώ, ὁ δεῖνα, ιυ ευη οω αεη ιαεη αιαη· ε αι ευ ηιε ωωωωω ευ ηω ϊαωαι: //.

‘ φωταγωγία· στεψάμενος τὴν κεφαλήν σου τῷ αὐτῷ κλῶνι, σταθεὶς τῷ αὐτῷ σχήματι ἐναντίον τοῦ λύχνου καμμύσας δίωκε τὸν λόγον τοῦτον ζʹ. λόγος· ‘ἐπικαλοῦμαί σε, τὸν θεὸν τὸν ζῶντα, πυριφεγγῆ, ἀόρατον φωτὸς γεννήτορα Ἰαήλ· πειπτα φως ζα παι φθενθα φωσζα πυρι βελια Ἰάω ιαο ευω οεη· α· ωυ εοι· α· ε· η· ϊ· ο· ϋ· ω· δός σου τὸ σθένος καὶ διέγειρόν σου τὸν δαίμονα καὶ εἴσελθε ἐν τῷ πυρὶ τούτῳ καὶ ἐνπνευμάτωσον αὐτὸν θείου πνεύματος καὶ δεῖξόν μοί σου τὴν ἀλκὴν, καὶ ἀνοιγήτω μοι ὁ οἶκος τοῦ παντοκράτορος θεοῦ Αλβαλαλ, ὁ ἐν τῷ φωτὶ τούτῳ, καὶ γενέσθω φῶς πλάτος, βάθος, μῆκος, ὕψος, αὐγή, καὶ διαλαμψάτω ὁ ἔσωθεν, ὁ κύριος Βουήλ· Φθᾶ Φθᾶ Φθαήλ· Φθᾶ αβαϊ· Βαϊνχωωωχ, ἄρτι ἄρτι, ἤδη ἤδη, ταχὺ ταχύ.‘ κάτοχος τοῦ φωτὸς ἅπαξ λεγόμενος, ὅπως παραμείνῃ σοι ἡ φωταγωγία· ἐνίοτε γάρ σου καλοῦντος τὸν θεαγωγὸν λόγον σκοτία γίνεται. χρὴ οὖν σε ὁρκίζειν οὕτως· λόγος· ‘ὁρκίζω σέ, ἱερὸν φῶς, ἱερὰ αὐγή, πλάτος, βάθος, μῆκος, ὕψος, αὐγή, κατὰ τῶν ἁγίων ὀνομάτων, τῶν εἴρηκα καὶ νῦν μέλλω λέγειν. κατὰ τοῦ Ἰάω· Σαβαὼθ Ἀρβαθιάω σεσενγενβαρφαραγγης αβλαναθαναλβα ακραμμαχαμαρι αϊ αϊ ιαο αξ· αξ· ϊναξ· παράμεινόν μοι ἐν τῇ ἄρτι ὥρᾳ, ἄχρις ἂν δενηθῶ τοῦ θεοῦ καὶ μάθω, περὶ ὧν βούλομαι.‘ θεαγωγὸς λόγος γʹ λεγόμενος ἀνεωγότων σου τῶν ὀφθαλμῶν· ‘ἐπικαλοῦμαί σε, τὸν μέγιστον θεόν, δυνάστην Ὧρον Ἁρποκράτην Αλκιβ Ἁρσαμωσι· ιωαϊ δαγεννουθ· ραραχαραι· Ἀβραϊαωθ· τὸν τὰ πάντα φωτίζοντα καὶ διαυγάζοντα τῇ ἰδίᾳ δυνάμει τὸν σύμπαντα κόσμον, θεὲ θεῶν, εὐεργέτα, αο· Ἰάω εαηυ· ὁ διέπων νύκτα καὶ ἡμέραν αϊ αω· ἡνιοχῶν καὶ κυβερνῶν οἴακα, κατέχων δράκοντα, Ἀγαθὸν ἱερὸν Δαίμονα, ᾧ ὄνομα Ἁρβαθανωψ· ιαοαϊ, ὃν ἀνατολαὶ καὶ δύσεις ὑμνοῦσι ἀνατέλλοντα καὶ δύνοντα· εὐλόγητος ἐν θεοῖς πᾶσι καὶ ἀγγέλοις καὶ δαίμοσι, ἐλθὲ καὶ φάνηθί μοι, θεὲ θεῶν, Ὧρε Ἁρποκράτα, Αλκιβ· Ἁρσαμωσι· Ἰάω αϊ δαγεννουθ ραραχαραι Ἀβραιαωθ· εἴσελθε, φάνηθί μοι, κύριε, ὅτι ἐπικαλοῦμαι, ὡς ἐπικαλοῦνταί σε οἱ τρεῖς κυνοκέφαλοι, οἵτινες συμβολικῷ σχήματι ὀνομάζουσίν σου τὸ ἅγιον ὄνομα α εε ηηη ιιιι οοοοο υυυυυυ ωωωωωωω.

(λέγε ὡς κυνοκέφαλος.) εἴσελθε, φάνηθί μοι, κύριε· ὀνομάζω γάρ σου τὰ μέγιστα ὀνόματα· βαρβαραϊ· βαρβαραωθ· αρεμψους· περταωμηχ· περακωνηθχ Ἰάω· Βάλ Βήλ· Βολ βε σρω· ιαοηϊ· ουεηϊ· εηϊ· εουηϊ· αηϊ· ηϊ· ιαο ηϊ· ὁ ἐπὶ τῆς τοῦ κόσμου κεφαλῆς καθήμενος καὶ κρίνων τὰ πάντα, περιβεβλημένος τῷ τῆς ἀληθείας καὶ πίστεως κύκλῳ ιυαη ιωαι, εἴσελθε, φάνηθί μοι, κύριε, τῷ πρὸ πυρὸς καὶ χιόνος προόντι καὶ μετόντι, ὅτι ὄνομά μοι Βαϊνχωωωχ· ἐγώ εἰμι ὁ πεφυκὼς ἐκ τοῦ οὐρανοῦ, ὄνομά μοι Βαλσάμης· εἴσελθε, φάνη θίμοι, κύριε, μεγαλώνυμε, ὃν πάντες κατὰ θυμὸν ἔχομεν, ὄνομά σοι Βαρφαννηθ ραλφαι· νινθερ· χουχαι· ὁ διαῤ 〈ῥ〉 ήσσων πέτρας καὶ κινῶν ὀνόματα θεῶν, εἴσελθε, φάνηθί μοι, κύριε, ὁ ἐν πυρὶ τὴν δύναμιν καὶ τὴν ἰσχὺν ἔχων

σεσενγεν βαρφαραγγης, ὁ ἐντὸς τῶν ζʹ πόλων καθήμενος αεηιουω, ὁ ἔχων ἐπὶ τῆς κεφαλῆς στέφανον χρύσεον, ἐν δὲ τῇ χειρὶ ἑαυτοῦ ῥάβδον Μεμνοΐνην, δι' ἧς ἀποστέλλεις τοὺς θεούς, ὄνομά σοι· Βαρβαριήλ· Βαρβαραϊήλ· θεὸς Βαρβαραήλ· Βήλ· Βουήλ· εἴσελθε, κύριε, καὶ ἀποκρίθητί μοι διὰ τῆς ἱερᾶς σου φωνῆς, ἵνα ἀκούσω δηλαυγῶς καὶ ἀψεύστως περὶ τοῦ δεῖνα πράγματος· ιυευη· ωωαεη (λόγος) ϊαεν· αιαη· εαι· ευηϊε· ωωωωω ιυηω· Ἰάω· αϊ.' ἐπάναγκος· ἐάν πως βραδύνῃ, συνεπίλεγε τὸν λόγον τοῦτον ὕστερον τῆς θεολογίας, λέγων ἅπαξ ἢ γʹ τὸν λόγον· 'ἐπιτάσσει σοι ὁ μέγας ζῶν θεός, ὁ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὁ συνσείων, ὁ βροντάζων, ὁ πᾶσαν ψυχὴν καὶ γένεσιν κτίσας· Ἰάω αωϊ ωϊα αϊω· ϊωα· ωαϊ· εἴσελθε, φάνηθί μοι, κύριε, ἱλαρός, εὐμενής, πραΰς, ἐπίδοξος, ἀμήνιτος, ὅτι σε ἐφορκίζω κατὰ τοῦ κυρίου Ἰάω αωι ωια αιω ιωα· ωαι απτα φωϊρα ζαζου χαμη· εἴσελθε, κύριε, φάνηθί μοι ἱλαρός, εὐμενής, πραΰς, 〈ἐπίδοξος,〉 ἀμήνιτος.' χαιρετισμός, αʹ λεγόμενος τοῦ θεοῦ εἰσελθόντος. κατέχων τὴν ψῆφον λέγε· 'κύριε, χαῖρε, θεὲ θεῶν, εὐεργέτα, Ὧρε, Ἁρποκράτα· Αλκιβ, Ἁρσαμωσι, Ἰάω αι· δαγεννουθ· ραραχαραϊ· Ἀβραϊάω· χαιρέτωσάν σου αἱ Ὧραι, ἐν αἷς διϊππεύεις, χαιρέτωσάν σου αἱ Δόξαι εἰς αἰῶνα, κύριε.' κάτοχος τοῦ θεοῦ· εἰσελθόντος αὐτοῦ μετὰ τὸ χαιρετίσαι τῇ ἀριστερᾷ πτέρνῃ πάτει τὸν μέγαν δάκτυλον τοῦ δεξιοῦ ποδός, καὶ οὐ μὴ ἀποχωρήσει, μὴ βαστάξας τὴν πτέρναν ἀπὸ τοῦ δακτύλου, ἅμα εὐθὺ λέγων ἀπόλυσιν. ἀπόλυσις· καμμύσας ἀπόλυσον τὴν ψῆφον, ἣν κρατεῖς, καὶ βαστάξας τὸ στεφάνιον ἀπὸ τῆς κεφαλῆς σου καὶ τὴν πτέρναν ἀπὸ τοῦ δακτύλου λέγε γʹ καμμύων· 'εὐχαριστῶ σοι, κύριε Βαϊνχωωωχ, ὁ ὢν Βαλσάμης· χώρει, χώρει, κύριε, εἰς ἰδίους οὐρανούς, εἰς τὰ ἴδια βασίλεια, εἰς ἴδιον δρόμημα συντηρήσας με ὑγιῆ, ἀσινῆ, ἀνειδωλόπληκτον, ἄπληγον, ἀθάμβητον, ἐπακούων μοι ἐπὶ τὸν τῆς ζωῆς μου χρόνον.' τῆς αὐγῆς ἀπόλυσις· 'χωω· χωω· ωχωωχ· ἱερὰ αὐγή,'— ἵνα καὶ ἡ αὐγὴ ἀπέλθῃ —'χώρει, ἱερὰ αὐγή, χώρει, καλὸν καὶ ἱερὸν φῶς τοῦ ὑψίστου θεοῦ αϊαωνα.' ἅπαξ λέγε καμμύων, ἐγχρίου στίμι κοπτικόν, ἐγχρίου μήλῃ χρυσῇ. φυλακτήριον τῆς πράξεως, ὃ δεῖ σε φορεῖν ἐπιβαλλόμενον πρὸς φύλαξίν σου ὅλου τοῦ σώματος· 〈ῥάκουσ〉 ἀπὸ ὀθονίου ἀρθέντος ἀπὸ Ἁρποκράτου ψηφίνου ὄντος ἐν ἱερῷ οἵῳ δή 〈ποτε〉 γράψον ἐπ' αὐτοῦ ζμύρνῃ ταῦτα· 'ἐγώ εἰμι Ὧρος Ἀλκιβ· Ἁρσαμωσις Ἰάω αϊ· δαγεννουθ· ραραχαραϊ Ἀβραϊαωθ· υἱὸς Ἴσιδος αθθα· βαθθα· καὶ Ὀσίρεως Ὀσορ〈ον〉νωφρεω〈σ〉· διαφύλαξόν με ὑγιῆ, ἀσινῆ, ἀνειδωλόπληκτον, ἀθάμβητον, ἐπὶ τὸν τῆς ζωῆς μου χρόνον.' καὶ βαλὼν ἔσωθεν τοῦ ῥάκους αἴζωον βοτάνην, ἑλίξας δῆσον ζʹ λιναρίοις ἀνουβιακοῖς καὶ φόρει περὶ τὸν τράχηλον, ἐὰν πράσσῃς. ποίησις· λαβὼν σπάρτας βιβλίνας πλατείας ἀπόδησον εἰς τὰς δʹ γωνίας τοῦ χωρήματος, ὡς γενέσθαι αὐτὰς Χ , ἐν δὲ τῷ μέσῳ τοῦ Χ ἀπόδησον σπειρίον ἐξ ἀρτεμισίας μονοκλώνου, καὶ ἐλλυχνιάσας λύχνον καλλάϊνον ἐν ἐλλυχνίῳ τῷ καλουμένῳ ἄχι χρῖσον αὐτὸ τὸ ἐλλύχνιον λίπει κριοῦ μέλανος ἄρρενος πρωτοτόκου καὶ πρωτοτρόφου καὶ πλήσας τὸν λύχνον χρηστοῦ ἐλαίου ἐπίθες ἐν μέσῳ ἐπὶ τὸ σπειρίον καὶ ἅψας στὰς τῷ σχήματι τῷ προγεγραμμένῳ, περὶ τὴν ἀνατολὴν ἔχων σου τὸ πρόσωπον πάντοτε πράσσων, ἀδιαφόρως ἔχων τὰς ἡμέρας· προάγνευε δὲ πρὸ ἡμερῶν γʹ ἀπὸ παντός. [1097]

4 (1100) πρόχρισον δὲ τὸ ἄχι λίπει κριοῦ μέλανος ἄρρενος πρωτοτόκου καὶ πρωτοτρόφου. σημεῖα τοῦ λύχνου· μετὰ τὸ εἰπεῖν τὴν φωταγωγίαν ἄνυξον τοὺς ὀφθαλμοὺς καὶ ὄψῃ τὸ φῶς τοῦ λύχνου καμοροειδὲς γινόμενον· εἶτα κλειόμενος λέγε (ἄλλως· γʹ ... μετὰ τὸ εἰπεῖν γʹ), καὶ ἀνοίξας ὄψῃ πάντα ἀχανῆ καὶ μεγίστην αὐγὴν ἔσω, τὸν δὲ λύχνον οὐδαμοῦ φαινόμενον. τὸν δὲ θεὸν ὄψῃ ἐπὶ κιβωρίου καθήμενον, ἀκτινωτόν, τὴν δεξιὰν ἀνατεταμένην ἀσπαζόμενον, τῇ δὲ ἀριστερᾷ 〈κρατοῦντα〉 σκῦτος, βασταζόμενον ὑπὸ βʹ ἀγγέλων ταῖς χερσὶν καὶ κύκλῳ αὐτῶν ἀκτῖνας ιβ . Στήλη ἀπόκρυφος · 'χαῖρε, τὸ πᾶν σύστημα τοῦ ἀερίου πνεύματος φωγαλωα· χαῖρε, τὸ πνεῦμα τὸ διῆκον ἀπὸ οὐρανοῦ ἐπὶ γῆν ερδηνευ καὶ ἀπὸ γῆς τῆς ἐν μέσῳ κύτει τοῦ κόσμου ἄχρι τῶν περάτων τῆς ἀβύσσου μερεμωγγα· χαῖρε, τὸ εἰσερχόμενόν με καὶ ἀντισπώμενόν μου

καὶ χωριζόμενόν μου κατὰ θεοῦ βούλησιν ἐν χρηστότητι πνεῦμα ϊωη ζανωφιε· χαῖρε, ἀρχὴ καὶ τέλος τῆς ἀκινήτου φύσεως δωρυγλαοφων· χαῖρε, στοιχείων ἀκοπιάτου λειτουργίας δίνησις ρωγυευ αναμι πεληγεων αδαρα ειωφ· χαῖρε, ἡλιακῆς ἀκτῖνος ὑπηρετικὸν κόσμου καταύγασμα ιεο υηω· ιαη αϊ ηωυ οει, χαῖρε, νυκτιφαοῦς μήνης ἀνισολαμπὴς κύκλος αιω ρημα ρωδουωπια, χαίρετε, τὰ πάντα ἀερίων εἰδώλων πνεύματα ρωμιδουη· αγανασου· ωθαυα· χαίρετε, οἷς τὸ χαίρειν ἐν εὐλογίᾳ δίδοται, ἀδελφοῖς καὶ ἀδελφαῖς, ὁσίοις καὶ ὁσίαις· ὦ μέγα, μέγιστον, ἐγκύκλιον, ἀπερινόητον σχῆμα κόσμου· οὐράνιον ενρωχεσυηλ [ἐ]νουράνιον πεληθευ· αἰθέριον ιωγαραα ἐναιθέριον θωπυλεο δαρδυ ὑδατῶδες ϊωηδες γαιῶδες περηφια πυρῶδες αφθαλυα· ἀνεμῶδες ϊωϊε ηω αυα φωτοειδές αλαπιε· σκοτοειδέ[ς] ϊεψερια· ἀστροφεγγές αδαμαλωρ· ὑγροπυρινοψυχρὸν πνεῦμα· αἰνῶ σε, ὁ θεὸς τῶν θεῶν, ὁ τὸν κόσμον καταρτισάμενος αρεω πιευα, ὁ τὴν ἄβυσσον θησαυρίσας ἀοράτῳ θέσεως ἑδράσματι περω Μυσὴλ ο πεντωναξ, ὁ διαστήσας οὐρανὸν καὶ γῆν καὶ τὸν μὲν οὐρανὸν πτέρυξιν χρυσείαις αἰωνίαις σκεπάσας ρωδηρυ ουωα, τὴν δὲ γῆν ἑδράσμασιν αἰωνίοις στηρίσας αληιοωα, ὁ τὸν αἰθέρα ἀνακρεμάσας μετεώρῳ ὑψώματι αϊεωη ϊουα, ὁ τὸν ἀέρα διασκεδάσας πνοαῖς αὐτοκινήτοις ωϊε ουω, ὁ τὸ ὕδωρ κυκλοτερὲς περιενέγκας ωρηπηλυα, ὁ τοὺς πρηστῆρας ἀνάγων ωρισθαυα, ὁ βροντάζων θεφιχυωνηλ, ὁ ἀστράπτων ουρηνες, ὁ βρέχων οσιωρνι φευγαλγα, ὁ σείων περατωνηλ, ὁ ζωογονῶν αρησιγυλωα, ὁ θεὸς τῶν Αἰώνων· μέγας εἶ, κύριε, θεέ, δέσποτα τοῦ παντός αρχιζω νυον θηναρ μεθωρ παρυ φηζωρ θαψαμυδω· μαρωμι χηλωψα:‘ [Σ ]τήλη πρὸς πάντα εὔχρηστο ς , ῥύεται καὶ ἐκ θανάτου.

μὴ ἐξέταζε τὸ ἐν αὐτῇ. λόγος· ‘σέ, τὸν ἕνα καὶ μάκαρα τῶν Αἰώνων πατέρα τε κόσμου, κοσμικαῖς κλῄζω λιταῖς. δεῦρό μοι, ὁ ἐνφυσήσας τὸν σύμπαντα κόσμον, ὁ τὸ πῦρ κρεμάσας ἐκ τοῦ ὕδατος καὶ τὴν γῆν χωρίσας ἀπὸ τοῦ ὕδατος, πρόσεχε, μορφὴ καὶ πνεῦμα καὶ γῆ καὶ θάλασσα, ῥῆμα τοῦ σοφοῦ θείας Ἀνάγκης, καὶ πρόσδεξαί μου τοὺς λόγους ὡς βέλη πυρός, ὅτι ἐγώ εἰμι ἄνθρωπος, θεοῦ τοῦ ἐν οὐρανῷ πλάσμα κάλλιστον, γενόμενον ἐκ πνεύματος καὶ δρόσου καὶ γῆς. ἀνοίγηθι, οὐρανέ, δέξαι μου τὰ φθέγματα, ἄκουε, Ἥλιε, πάτερ κόσμου· ἐπικαλοῦμαί σε τῷ ὀνόματί σου αω ευ ηοϊ αιοη· νεωα· ουορζαρα· λαμανθαθρη· κανθιοπερ γαρψαρθρη· μενλαρδαπα κενθηρ δρυομεν θρανδρηθρη· ϊαβε ζελανθι βερ ζαθρη· ζακεντι βιολλϊθρη αηω· ουω· ηω· οω· ραμιαθα· αηω ωυω· ουω· ωαυω: ὁ μόνος τὸ ῥίζωμα ἔχων, σὺ εἶ τὸ ὄνομα τὸ ἅγιον κα[ὶ] τὸ ἰσχυρόν, τὸ καθηγιασμένον ὑπὸ τῶν ἀγγέλων πάντων, διαφύλαξόν μ[ε] τόνδε ἀπὸ πάσης ὑπεροχῆς ἐξουσίας καὶ πάσης ὕβρεως· ἦ ποίησον τόδε, κύριε, θεὲ θεῶν, ϊαλδαζαω βλαθαμ μαχωρ· φριξ αη κεωφ· εηα· δυμεω· φερφριθω· ιαχθω· ψυχεω· φιριθμεω· ρωσερωθ· θαμαστραφατι ριμψαωχ ιαλθε· μεαχι αρβαθανωψ, κόσμου κτίστα, τὰ πάντα κτίστα, κύριε, θεὲ θεῶν, Μαρμαριώ, Ἰάω· ἐφώνησά σου τὴν ἀνυπέρβλητον Δόξαν, ὁ κτίσας θεοὺς καὶ ἀρχαγγέλους καὶ δεκανούς.

αἱ μυριάδες τῶν ἀγγέλων παρεστήκασί 〈σοι〉 καὶ ὕψωσαν τὸν οὐρανόν, καὶ ὁ κύριος ἐπεμαρτύρησέ σου τῇ Σοφίᾳ, ὅ ἐστιν Αἰών ιεουηωη ιαηαιηω 〈η〉 υοεϊ, καὶ εἶπέν σε σθένειν, ὅσον καὶ αὐτὸς 〈σ〉 θένει. ἐπικαλοῦμαί σου τὸ ἑκατονταγράμματον ὄνομα τὸ διῆκον ἀπὸ τοῦ στερεώματος μέχρις τοῦ βάθους τῆς γῆς· σῶ σόν με, αἰεὶ γὰρ πάντοτε χαίρεις τοὺς σοὺς σώζων αθηζε φωϊ ααα δαϊαγθι θηοβις· φιαθ· θαμβραμι Ἀβραώθ· χθολχιλ θοε· οελχωθ· θιοωημχ χοομχ σαησι· ϊσαχχοη· ϊερουθρα· οοοοο αιωαϊ (γράμματα ρʹ). ἐπικαλοῦμαί σε τὸν ἐν τῷ χρυσῷ πετάλῳ, ᾧ ὁ ἄσβεστος λύχνος διηνεκῶς παρακάεται, ὁ μέγας θεός, ὁ φανεὶς ἐν ὅλῳ τῷ κόσμῳ, κατὰ Ἱερουσαλὴμ μαρμαίρων, κύριε Ἰάω αιη ιωη ωιη ωιη ιη αιωαι αι ουω αωη ηει ιεω ηυω αηι αω αωα αεηι υω ειη αηω ιευ αεη ιαια Ἰάω ευ αευ ιαη ει α[α]α ιιι ηηη ϊω ιωη Ἰάω (γράμματα ρʹ), ἐπ’ ἀγαθῷ, κύριε.‘ Πρᾶξις γενναία ἐκβάλλουσα δαίμονας · λόγος λεγόμενος ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. βάλε ἔμπροσθεν αὐτοῦ κλῶνας ἐλαίας καὶ ὄπισθεν αὐτοῦ σταθεὶς λέγεις· ‘[verba

Eulogikon public reading copy · View original HTML at eulogikon.org

coptica] ἐξορκίζω σε, δαῖμον, ὅστις ποτ’ οὖν εἶ, κατὰ τούτου τοῦ θεοῦ σαβαρβαρβαθιωθ σαβαρβαρβαθιουθ· σαβαρβαρβαθιωνηθ σαβαρβαρβαφαϊ· ἔξελθε, δαῖμον, ὅστις ποτ’ οὖν εἶ, καὶ ἀπόστηθι ἀπὸ τοῦ δεῖνα, ἄρτι, ἄρτι, ἤδη, ἤδη. ἔξελθε, δαῖμον, ἐπεί σε δεσμεύω δεσμοῖς ἀδαμαντίνοις ἀλύτοις, καὶ παραδίδωμί σε εἰς τὸ μέλαν χάος ἐν ταῖς ἀπωλείαις.‘ ποίησις· ζ′ κλῶνας ἐλαίας ἄρας τ[οὺ]ς μὲν ἓξ δῆσον οὐρὰν καὶ κεφαλήν, ἓν καθ’ ἕν, τῷ δὲ ἑνὶ δέρε ἐξορκίζων.

κρύβε. ἐπράχθη. ἐκβαλὼν περίαπτε τῷ δεῖνα φυλακτήριον, ὃ περ 〈ι〉 τίθησιν ὁ κάμνων μετὰ τὸ ἐκβαλεῖν τὸν δαίμονα ἐπὶ κασσιτερίνου πετάλου ταῦτα· ‘βωρ φωρ φορβα φορ φορβα: βες Χάριν Βαυβώ τε Φωρ βωρφορβα φορβαβορ βαφορβα φαβραιη φωρβα φαρβα φωρφωρ φορβα βωφορ φορβα φορφορ φορβα βωβορβορβα παμφορβα φωρφωρ φωρβα, φύλαξον τὸν δεῖνα.‘ καὶ ἄλλο ἔχει φυλακτήριον, ὅπου τὸ σημεῖον τοῦτο [Magical Character] . Ἀφροδίτης ὄνομα τὸ μηδενὶ ταχέως γινωσκόμενον· ‘Νεφεριηρι‘—τοῦτο τὸ ὄνομα. ἐὰν γυναικὸς ἐπιτυχεῖν θέλῃς εὐσχήμονος, καθαρὸς γενόμενος ἐπὶ ἡμέρας γ′, ἐπιθύσας λίβανον, τοῦτο τὸ ὄνομα ἐπικαλεσάμενος αὐτῷ καὶ εἰσελθὼν πρὸς τὴν γυναῖκα ἑπτάκις ἐρεῖς αὐτὸ κατὰ ψυχὴν βλέπων αὐτῇ, καὶ οὕτως ἐξήξει. τοῦτο δὲ ποίει ἐπὶ ἡμέρας ζ′. Ἀρκτικὴ πάντα ποιοῦσ α . λόγος· ‘ἐπικαλοῦμαί σε, τὴν μεγίστην δύναμιν τὴν ἐν τῷ οὐρανῷ (ἄλλοι· τὴν ἐν τῇ ἄρκτῳ) ὑπὸ κυρίου θεοῦ τεταγμένην ἐπὶ τῷ στρέφειν κραταιᾷ χειρὶ τὸν ἱερὸν πόλον, νικαροπληξ· ἐπάκουσόν μοι, Ἥλιε Φρῆ, τὸν ἱερὸν 〈λόγον〉 , ὁ τὰ ὅλα συνέχων καὶ ζωογονῶν τὸν σύμπαντα κόσμον, θωζοπιθη ευχανδαμα ωχριενθηρ ομνυωδης χημιοχυνγης ϊεωυ (ἐπίθυε) θερμουθερ ψιφιριξ φροσαλι κανθιμεω ζενζεμια ωπερ περομενης ρωθιευ ηνινδευ κορκουνθο ευμεν μενι [Magical Character] κηδευα κηψηοι.‘ κοινόν. ἐξαίτησις πρὸς ἥλιον κατὰ δύσιν. λόγος· ‘θηνωρ Ἥλιε σανθηνωρ, παρακαλῶ, κύριε· ἐμοὶ σχολασάτω ὁ τῆς ἄρκτου τόπος καὶ κύριος.‘ καὶ ἐπίθυε ἐξαιτούμενος ἄρμαρα, ποίει πρὸς δύσιν ἡλίου. ἐπάναγκος τῆς γ′ ἡμέρας· ‘αντεβερωυρτωρ ερεμνεθηχωρ χνυχιροαντωρ μενελεοχευ· ηεσσιπο δωτήρ ευαρητω γου πι φυλακὴ ωμαλαμινγορ μαντατονχα ποίησον τὸ δεῖνα πρᾶγμα.

‘ ἄλλως ὁ πρῶτος λόγος· ‘θωζοπιθη ἄρκτε, θεὰ μεγίστη, ἄρχουσα οὐρανοῦ, βασιλεύουσα πόλου ἀστέρων, ὑπερτάτη, καλλιφεγγὴ 〈σ〉 θεά, στοιχεῖον ἄφθαρτον, σύστημα τοῦ παντός, πανφεγγής, ἁρμονία τῶν ὅλων αεηιουω (πλινθίον), ἡ ἐπὶ τοῦ πόλου ἐφεστῶσα, ἣν ὁ κύριος θεὸς ἔταξε κραταιᾷ χειρὶ στρέφειν τὸν ἱερὸν πόλον· θωζοπιθη (λόγος).‘ ἐπίθυμα τῆς πράξεως· λιβάνου δραχμαὶ δ′, ζμύρνης δραχμαὶ δ′, κασίας φύλλου, πεπέρεως λευκοῦ ἀνὰ οὐγκίας β′, βδελλίου δραχμὴν α′, ἀνθερίκου σπέρματος δραχμὴν α′, ἀμώμου, κρόκου, στύρακος τερεβινθίνης ἀνὰ δραχμὰς β′, ἀρτεμισίας δραχμὴν α′, κατανάγκης βοτάνης [...], κῦφι ἱερατικόν, ἐγκέφαλος κριοῦ μέλανος ὅλος. οἴνῳ λευκῷ μενδησίῳ καὶ μέλιτι ἀναλάμβανε καὶ ποίει κολλούρια. φυλακτήριον τῆς πράξεως· λύκου ἀστράγαλον περιάπτου, μίσγε δὲ τῷ θυμιατηρίῳ χυλὸν κατανάγκης καὶ ποταμογείτονος, γράψον μέσον τοῦ θυμιατηρίου τὸ ὄνομα τοῦτο· ‘θερμουθερεψιφιριφιπισαλι‘ (γράμματα κδ ), καὶ οὕτως ἐπίθυε. ἄλλο· ‘κομφθο κομασιθ κομνουν ὁ σείσας καὶ σείων τὴν οἰκουμένην, ὁ καταπεπωκὼς τὸν ἀείζωον ὄφιν καὶ καθ’ ἡμέραν ἐξαιρῶν τὸν κύκλον τοῦ ἡλίου καὶ τῆς σελήνης, ᾧ ὄνομα ιθιοω ηϊ Ἀρβαθιάωη, ἀνάπεμψόν μοι, τῷ δεῖνα, νυκτὸς τὸν δαίμονα ταύτης τῆς νυκτὸς χρηματίσαι μοι περὶ τοῦ δεῖνα πράγματος.‘ Ἀρκτικὴ δύναμις πάντα ποιοῦσα. λαβὼν ὄνου μέλανος στέαρ καὶ αἰγὸς ποικίλης στέαρ καὶ ταύρου μέλανος στέαρ καὶ κύμινον αἰθιοπικὸν ἀμφότερα μῖξον καὶ ἐπίθυε πρὸς ἄρκτον, ἔχων φυλακτήριον τῶν αὐτῶν ζῴων τρίχας, πλοκίσας σειράν, ἥνπερ ὡς διάδημα φόρει περὶ τὴν κεφαλήν· χρίου δέ σου τὰ χείλη τοῖς στέασι, τὸ δὲ σῶμα συνάλειψαι στυρακίνῳ ἐλαίῳ καὶ ἐντύγχανε κρατῶν κρόμμυον μονογενὲς αἰγύπτιον καὶ λέγε, περὶ οὗ θέλεις. περιζωσάμενος σεβένινον ἀρρενικοῦ φοίνικος καὶ καθίσας ἐπὶ γόνατα λέγε τὸν ὑποκείμενον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λόγον· ‘ἐπικαλοῦμαι ὑμᾶς, ἁγίους, μεγαλοδυνάμους, μεγαλοδόξους, μεγασθενεῖς, ἁγίους, αὐτόχθονας, παρέδρους τοῦ μεγάλου θεοῦ, τοὺς κραταιοὺς ἀρχιδαίμονας, οἵτινές ἐστε χάους, ἐρέβους, ἀβύσσου, βυθοῦ, γαίης οἰκήτορες, οὐρανοκευθμωνοδιαίτους, ἐνδομύχους, κελ⟨αιν⟩εφεῖς, ἀθεωρήτων ⟨ἐ⟩νεφόπτας, κρυφίμων φύλακας, καταχθονίων ἡγεμόνας, ἀπειροδιοικητάς, κραταιόχθονας, κινησιγαίους, στηριγμοθέτας, χασματυπουργούς, φρικτοπαλαίμονας, φοβεροδιακράτορας, στρεψηλακάτους, χιονοβροχοπαγεῖς, ἀεροδρόμους, θεροκαυσώδεις, ἀνεμοεπάκτας, κοιρανομοίρους, σκοτιοερέβους, ἀναγκεπάκτας, πυροπεμψιφλόγους, χιονοδροσοφερεῖς, ἀνεμαφέτας, βυθοκλόνους, γαληνοβάτας, ἀλκιμοβρίθους, ἀλγεσιθύμους, ὀβριμοδυνάστας, κρημνοβάμονας, βαρυδαίμονας, σιδηροψύχους, ἀγριοθύμους, ἀνυποτάκτους, ταρταροφρούρους, πλανησιμοίρους, παντεπόπτας, πανθυπακουστάς, πανθυποτακτ⟨ικ⟩ούς, οὐρανοφοίτους, πνευματοδώτας, ἀφελοζώους, κινησιπόλους, φρενογηθεῖς, θανατοσυναρτάς, ἀγγελοδείκτας, ἐκδικοφῶτας, ἀνηλιοδείκτας, δαιμονοτάκτας, ἀεροδρόμους, παντοκράτορας, ἁγίους, ἀκαταμαχήτους Ἀώθ· Ἀβαώθ· βασυμ· Ἰσάκ· Σαβαώθ· Ἰάω· Ἰακώπ· μαναρα· σκορτουρι· μορτρουμ· εφραυλα θρεερσα· ποίησον τὸ δεῖνα πρᾶγμα. [1375]

4 (1350) ‘ τὸ δὲ ἑκατονταγράμματον τοῦ Τυφῶνος γράφε εἰς χάρτην ὡς ἀστέρα στρογγυλοῦν καὶ ἔνδησον ἀνὰ μέσον τῆς σειρᾶς τῶν γραμμάτων ἔξω βλεπόντων. ἔστιν δὲ τὸ ὄνομα τοῦτο· αχχωρ αχχωρ αχαχαχπτουμι χαχχω χαραχωχ χαπτουμη· χωρα χωχ απτουμιμη χωχαπτου χαραχπτου· χαχχω χαρα· χωχ πτεναχωχεου. Ἀγωγὴ ἐπὶ ἡρώων ἢ μονομάχων ἢ βιαίων. καταλιπὼν ἀπὸ τοῦ ἄρτου, οὗ ἐσθίεις, ὀλίγον καὶ κλάσας ποίησον εἰς ἑπτὰ ψωμοὺς καὶ ἐλθών, ὅπου ἥρωες ἐσφάγησαν καὶ μονομάχοι καὶ βίαιοι, λέγε τὸν λόγον εἰς τοὺς ψωμοὺς καὶ ῥῖπτε, καὶ ἄρας κόπρια ἀπὸ τοῦ τόπου, ὅπου πράσσεις, βάλε ἔσω παρ’ αὐτήν, ἧς ποθεῖς, καὶ πορευθεὶς κοιμῶ. ἔστιν ὁ λόγος ὁ λεγόμενος εἰς τοὺς ψωμούς· ‘Μοίραις, Ἀνάγκαις, Βασκοσύναις, Λοιμῷ, Φθόνῳ καὶ φθιμένοις ἀώροις, βιομόροις πέμπω τροφάς· τρικάρανε, νυχία, βορβοροφόρβα, Παρθένε, κλειδοῦχε Περσέφασσα, Ταρτάρου Κόρη, γοργῶπι, δεινή, πυριδρακοντόζωνε παῖ· ὁ δεῖνα ἐκ τῆς τροφῆς ἑαυτοῦ καταλείψανα δάκρυσιν ἔμιξεν καὶ στενάγμασιν πικροῖς, ὅπως αὐτὸν καρπίσησθε βασάνοις ἐχόμενον, ἥρωες ἀτυχεῖς, οἳ ἐν τῷ δεῖνα τόπῳ συνέχεσθε, λειψίφωτες ἀλλοιόμοροι· τὸν δεῖνα καρπίσασθε τὸν πονοῦντα καρδίαν, ἕνεκεν τῆς δεῖνα, τῆς ἀσεβοῦς καὶ ἀνοσίας. [1410]

4 (1400) ἄξατε οὖν αὐτὴν βασανιζομένην, διὰ τάχους ειουτ Ἀβαώθ· ψακερβα· Ἀρβαθιάω· λαλαοϊθ· ιωσαχωτου· αλλαλεθω· καὶ σύ, κυρία βορφοροφόρβα· συνατρακαβι βαυβαραβας ενφνουν· Μορκα· Ἐρεσχιγὰ[λ] νεβουτοσουαληθ· πέμψον δὲ Ἐρινύν, Ὀργογοργονιοτριαν, ψυχὰς καμόντων ἐξεγείρουσαν πυρί, ἥρωες ἀτυχεῖς ἡρωίδες τε δυστυχεῖς, οἱ ἐν τούτῳ τῷ τῷ τόπῳ, οἱ ἐν ταύτῃ τῇ ἡμέρᾳ, οἱ ἐν ταύτῃ τῇ ὥρᾳ, οἱ ἐπὶ ταῖς μυρίναις σοροῖς· ἐπακούσατέ μου καὶ ἐξεγείρατε τὴν δεῖνα ἐν τῇ νυκτὶ ταύτῃ καὶ ἀφέλεσθε αὐτῆς τὸν ἡδὺν ὕπνον ἀπὸ τῶν βλεφάρων καὶ δότε αὐτῇ στυγερὰν μέριμναν, φοβερὰν λύπην καὶ μεταζήτησιν τῶν ἐμῶν τύπων καὶ θέλησιν τῶν ἐμῶν θελημάτων, ἄχρις ἂν ποιήσῃ τὰ ἐπιτασσόμενα αὐτῇ ὑπ’ ἐμοῦ. κυρία Ἑκάτη Φορβα φορβωβαρ βαρω φωρφωρ φωρβαϊ, εἰνοδία, κύων μέλαινα.‘ ἐπὰν δὲ ταῦτα ποιήσας ἐπὶ γ′ ἡμέρας μηδὲν τελῇς, τότε τῷ ἐπανάγκῳ χρῶ τούτῳ· ἐλθὼν γὰρ εἰς τὸν αὐτὸν τόπον καὶ ποιήσας πάλιν τὸ τῶν ψωμῶν, τότε ἐπίθυε ἐπὶ ἀνθράκων καλπασίνων βόλβιθον βοὸς μελαίνης καὶ λέγε ταῦτα, καὶ πάλιν ἄρας τὰ κόπρια ῥῖπτε, ὡς οἶδες. ἔστι δὲ τὰ λεγόμενα ⟨ἐπὶ⟩ ἐπιθύματος ταῦτα· “Ἑρμῆ χθόνιε καὶ Ἑκάτη χθονία καὶ Ἀχέρων χθόνιε καὶ ὠμοφάγοι χθόνιοι καὶ θεὲ χθόνιε καὶ ἥρωες χθόνιοι καὶ Ἀμφιάραε χθόνιε καὶ ἀμφίπολοι χθόνιοι καὶ πνεύματα χθόνια καὶ Ἁμαρτίαι χθόνιαι καὶ Ὄνειροι χθόνιοι καὶ Ὅρκοι χθόνιοι καὶ Ἀρίστη χθονία καὶ Τάρταρε χθόνιε καὶ Βασκανία χθονία, Χάρων χθόνιε καὶ ὀπάονες χθόνιοι καὶ νέκυες

καὶ οἱ δαίμονες καὶ ψυχαὶ ἀνθρώπων πάντων· ἔρχεσθε σήμερον, Μοῖραι καὶ Ἀνάγκη, τελέσατε τὰ γινόμενα ἐπὶ τῆς ἀγωγῆς ταύτης, ὅπως ἄξητέ μοι τὴν δεῖνα τῆς δεῖνα, ἐμοί, τῷ δεῖνα τῆς δεῖνα (κοινόν), ὅτι ἐπικαλοῦμαι· Χάος ἀρχέγονον, Ἔρεβος, φρικτὸν Στυγὸς ὕδωρ, νάματα Λήθης Ἀχερουσίατε λίμνη Ἅιδου, Ἑκάτη καὶ Πλουτεῦ καὶ Κούρα, Ἑρμῆ χθόνιε, Μοῖραι καὶ Ποιναί, Ἀχέρων τε καὶ Αἴακε, πυλωρὲ κλείθρων τῶν ἀϊδίων, θᾶττον ἄνοιξον, κλειδοῦχέ τε Ἄνουβι φύλαξ.

ἀναπέμψατέ μοι τῶν νεκύων τούτων εἴδωλα πρὸς ὑπηρεσίαν ἐν τῇ ἄρτι ὥρᾳ ἀνυπερθέτως, ἵνα πορευθέντες ἄξωσί μοι, τῷ δεῖνα, τὴν δεῖνα τῆς δεῖνα. κοινόν. ἡ Ἶσις ἔβη συνόμευνον ἀδελφὸν ἔχουσα ἐν ὤμοις, Ζεὺς δὲ κατελθὼν ἀπ’ Οὐλύμπου ἕστηκε μένων τὰ εἴδωλα τῶν νεκύων ὑπάγοντα πρὸς τὴν δεῖνα καὶ ποιοῦντα τὸ δεῖνα πρᾶγμα. κοινόν. ἦλθον πάντες θεοὶ ἀθάνατοι καὶ πᾶσαι θεαὶ ἰδεῖν τὰ εἴδωλα τῶν νεκύων τούτων. μὴ μέλλετε οὖν μηδὲ βραδύνητε, ἀλλ’ ἀποπέμπετε, θεοί, τὰ εἴδωλα τῶν νεκύων τούτων, ὅπως ἀπελθόντα πρὸς τὴν δεῖνα ποιήσωσι τὸ δεῖνα πρᾶγμα, κοινόν, ὅτι ὑμᾶς ἐξορκίζω κατὰ τοῦ Ἰάω καὶ τοῦ Σαβαὼθ καὶ Ἀδωναὶ πατραξιλυτρα· βουρρεφαωμι ασσαλκη αϊδουναξ σεσενγεν (λόγος) βαλιαβα ερεχχαρνοι· αβεριδουμα· σαλβαχθι εισερσε ραθω· εισερδα ωμι σισιφνα· σισαεδουβε· αχχαριτωνη αβεριφνουβα ιαβαλ δεναθι ϊθρουφι· ἀναπέμψατε τὰ εἴδωλα τῶν νεκύων τῶνδε πρὸς τὴν δεῖνα τῆς δεῖνα, ὅπως ποιήσωσιν τὸ δεῖνα πρᾶγμα.‘ κοινόν. Ἀγωγὴ ἐπὶ ζμύρνης ἐπιθυομένης· ἐπιθύων ἐπὶ ἀνθράκων δίωκε τὸν λόγον. λόγος· ‘σὺ εἶ ἡ Ζμύρνα, ἡ πικρά, ἡ χαλεπή, ἡ καταλλάσσουσα τοὺς μαχομένους, ἡ φρύγουσα καὶ ἀναγκάζουσα φιλεῖν τοὺς μὴ προσποιουμένους τὸν Ἔρωτα.

πάντες σε λέγουσιν Ζμύρναν, ἐγὼ δὲ λέγω σε σαρκοφάγον καὶ φλογικὴν τῆς καρδίας. οὐ πέμπω σε μακρὰν εἰς τὴν Ἀραβίαν, οὐ πέμπω σε εἰς Βαβυλῶνα, ἀλλὰ πέμπω σε πρὸς τὴν δεῖνα τῆς δεῖνα, ἵνα μοι διακονήσῃς πρὸς αὐτήν, ἵνα μοι ἄξῃς αὐτήν. εἰ κάθηται, μὴ καθήσθω, εἰ λαλεῖ πρός τινα, μὴ λαλείτω, εἰ ἐμβλέπει τινί, μὴ ἐμβλεπέτω, εἰ προσέρχεταί τινι, μὴ προσερχέσθω, εἰ περιπατεῖ, μὴ περιπατείτω, εἰ πίνει, μὴ πινέτω, εἰ ἐσθίει, μὴ ἐσθιέτω, εἰ καταφιλεῖ τινα, μὴ καταφιλείτω, εἰ τέρπεταί τινι ἡδονῇ, μὴ τερπέσθω, εἰ κοιμᾶται, μὴ κοιμάσθω, ἀλλ’ ἐμὲ μόνον, τὸν δεῖνα, κατὰ νοῦν ἐχέτω, ἐμοῦ μόνου ἐπιθυμείτω, ἐμὲ μόνον στεργέτω, τὰ ἐμὰ θελήματα πάντα ποιείτω. μὴ εἰσέλθῃς αὐτῆς διὰ τῶν ὀμμάτων, μὴ διὰ τῶν πλευρῶν, μὴ διὰ τῶν ὀνύχων μηδὲ διὰ τοῦ ὀμφαλοῦ μηδὲ διὰ τῶν μελῶν, ἀλλὰ διὰ τῆς ψυχῆς, καὶ ἔμμεινον αὐτῆς ἐν τῇ καρδίᾳ καὶ καῦσον αὐτῆς τὰ σπλάγχνα, τὸ στῆθος, τὸ ἧπαρ, τὸ πνεῦμα, τὰ ὀστᾶ, τοὺς μυελούς, ἕως ἔλθῃ πρὸς ἐμέ, τὸν δεῖνα, φιλοῦσά με καὶ ποιήσῃ πάντα τὰ θελήματά μου, ὅτι ἐξορκίζω σε, Ζμύρνα, κατὰ τῶν τριῶν ὀνομάτων Ἀνοχω, Ἀβρασάξ, Τρω καὶ τῶν ἐπακολουθοτέρων καὶ τῶν ἰσχυροτέρων Κορμειωθ, Ἰάω, Σαβαώθ, Ἀδωναί, ἵνα μοι τὰς ἐντολὰς ἐπιτελέσῃς, Ζμύρνα· ὡς ἐγώ σε κατακάω καὶ δυνατὴ εἶ, οὕτω ἧς φιλῶ, τῆς δεῖνα, κατάκαυσον τὸν ἐγκέφαλον, ἔκκαυσον καὶ ἔκστρεψον αὐτῆς τὰ σπλάγχνα, ἔκσταξον αὐτῆς τὸ αἷμα, ἕως ἔλθῃ πρὸς ἐμέ, τὸν δεῖνα τῆς δεῖνα. ὁρκίζω σε κατὰ τοῦ μαρπαρκουριθ· νασααρι· ναιεμαρε παιπαρι νεκουρι.

βάλλω σε εἰς τὸ πῦρ τὸ καόμενον καὶ ὁρκίζω σε κατὰ τοῦ παντοκράτορος θεοῦ ζῶντος ἀεί· ὁρκίσας σε καὶ νῦν ὁρκίζω σε Ἀδωναί· Βαρβαρ Ἰάω· Ζαγουρη· Ἁρσαμωσι· αλαους· καὶ σαλαως· ὁρκίζω σε τὸν στηρίζοντα ἄνθρωπον εἰς ζωήν· ἄκουε, ἄκουε, ὁ μέγας θεός, Ἀδωναῖε εθυια, αὐτογενέτωρ, ἀείζων θεέ, ειωη· Ἰάω αϊω αιω φνεως σφιντης Ἀρβαθιάω Ἰάω ιαη ιωα αι ὁ ὢν Οὐὴρ γονθιαωρ Ῥαραηλ· αβρα· βραχα· σοροορμερφεργαρ· μαρβαφριουϊριγξ Ἰάω Σαβαώθ, Μασκελλι Μασκελλω (ὁ λόγος) αμονσωε· Ἀνοχ· ριγχ· φνουκενταβαωθ· σουσαε φινφεσηχ· μαφιραρ· ανουριν· Ἰβαναωθ· Ἁρουὴρ· Χνουφ· Ἀνοχ· βαθι· ουχ Ἰάρβας· βαβαυβαρ· Ἐλωαί· ἄγε μοι τὴν δεῖνα τῆς δεῖνα πρὸς ἐμέ, τὸν δεῖνα τῆς δεῖνα, ἐν τῇ σήμερον ἡμέρᾳ, ἐν τῇ νυκτὶ ταύτῃ, ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῇ ἄρτι ὥρᾳ μουλωθ· φοφιθ· φθωιθ· [Φ]θωύθ· πενιων· ἐπικαλοῦμαι καὶ σέ, τὸν τὸ πῦρ κρατοῦντα Φθαν Ἀνοχ, εἰσάκουσόν μου, ὁ εἷς, μονογενὴς μανεβια βαϊβαϊ· χυριρωου· θαδειν, Ἀδωναί· Ἐροὺ νουνι μιωωνχ· χουτιαι Μαρμαραυώθ· ἄξον τὴν δεῖνα τῆς δεῖνα πρὸς ἐμέ, τὸν δεῖνα τῆς δεῖνα, ἄρτι, ἄρτι, ἤδη, ἤδη, ταχύ, ταχύ.‘ λέγε δὲ καὶ τὸν κατὰ πάντων λόγον. Ἔστιν δὲ ἡ κατὰ πάντων τελετὴ ἥδε. πρὸς Ἥλιον λόγος· ‘ἐπικαλοῦμαί σε, τὸν μέγιστον θεόν, ἀέναον κύριον, κοσμοκράτορα, τὸν ἐπὶ τὸν κόσμον καὶ ὑπὸ τὸν κόσμον, ἄλκιμον θαλασσοκράτορα, ὀρθινὸν ἐπιλάμποντα, ἀπὸ τοῦ ἀπηλιώτου ἀνατέλλοντα τῷ σύμπαντι κόσμῳ, δύνοντα τῷ λιβί.

δεῦρό μοι, ὁ ἀνατέλλων ἐκ τῶν τεσσάρων ἀνέμων, ὁ ἱλαρὸς Ἀγαθὸς Δαίμων, ᾧ οὐρανὸς ἐγένετο κωμαστήριον. ἐπικαλοῦμαί σου τὰ ἱερὰ καὶ μεγάλα καὶ κρυπτὰ ὀνόματα, οἷς χαίρεις ἀκούων. ἀνέθαλεν ἡ γῆ σοῦ ἐπιλάμψαντος καὶ ἐκαρποφόρησεν τὰ φυτὰ σοῦ γελάσαντος, ἐζωογόνησε τὰ ζῶα σοῦ ἐπιτρέψαντος. δὸς δόξαν καὶ τιμὴν καὶ χάριν καὶ τύχην καὶ δύναμιν, ᾧ ἐπιτελοῦμαι σήμερον τῷ δεῖνα λίθῳ (ἢ· φυλακτηρίῳ τελουμένῳ) πρὸς τὸν δεῖνα. ἐπικαλοῦμαί σε τὸν μέγαν ἐν οὐρανῷ ηι· λανχυχ· ακαρην· Βάλ μισθρην· μαρταμαθαθ· λαϊλαμ· μουσουθι· σιεθω· βαθαβαθι· ιατμων· αλεϊ· ιαβαθ Ἀβαώθ· Σαβαώθ· Ἀδωναί, ὁ θεὸς ὁ μέγας, Ορσενοφρη· οργεατης· τοθορνατησα κριθι· βιωθι· ϊαδμω· ιατμωμι· μεθιηϊ· λονχοω· ακαρη· Βάλ μινθρη· βανεβαιχχυχχουφρι· νοθεουσι θραϊ αρσιουθ· ερωνερθερ· ὁ λαμπρὸς Ἥλιος, αὐγάζων καθ’ ὅλην τὴν οἰκουμένην· σὺ εἶ ὁ μέγας Ὄφις, ἡγούμενος τούτων τῶν θεῶν, ὁ τὴν ἀρχὴν τῆς Αἰγύπτου ἔχων καὶ τὴν τελευτὴν τῆς ὅλης οἰκουμένης, ὁ ἐν τῷ ὠκεανῷ ὀχεύων, Ψοϊ φνουθι νινθηρ· σὺ εἶ ὁ καθ’ ἡμέραν καταφανὴς γινόμενος καὶ δύνων ἐν τῷ βορολίβᾳ τοῦ οὐρανοῦ, ἀνατέλλων ἐν τῷ νοταπηλιώτῃ. ὥρᾳ α′ μορφὴν ἔχεις αἰλούρου, ὄνομά σοι Φαρακουνηθ· δὸς δόξαν καὶ χάριν τῷ φυλακτηρίῳ τούτῳ.

ὥρᾳ β′ μορφὴν ἔχεις κυνός, ὄνομά σοι Σουφι· δὸς ἰσχὺν καὶ τιμὴν τῷ φυλακτηρίῳ τούτῳ, τῷ λίθῳ τούτῳ καὶ τῷ δεῖνα. ὥρᾳ γ′ μορφὴν ἔχεις ὄφεως, ὄνομά σοι Αμεκρανεβεχεο Θωύθ· δὸς τιμὴν τῷ θεῷ τῷ δεῖνα. ὥρᾳ δ′ μορφὴν ἔχεις κανθάρου, ὄνομά σοι Σενθενιψ· συνεπίσχυσον τῷ φυλακτηρίῳ τούτῳ ἐν τῇ νυκτὶ ταύτῃ, εἰς ὃ τελεῖται πρᾶγμα. ὥρᾳ ε′ μορφὴν ἔχεις ὄνου. ὄνομά σοι Ενφαν χουφ· δὸς ἰσχὺν καὶ θάρσος καὶ δύναμιν τῷ θεῷ τῷ δεῖνα. ὥρᾳ ς′ μορφὴν ἔχεις λέοντος. ὄνομα δέ σοι Βαϊ σολβαϊ· ὁ κυριεύων χρόνου· δὸς ἐπιτυχίαν τῷ φυλακτηρίῳ τούτῳ καὶ νίκην καλήν. ὥρᾳ ζ′ μορφὴν ἔχεις τράγου. ὄνομά σοι Ουμεσθωθ· δὸς ἐπαφροδισίαν τῷ δακτυλίῳ τούτῳ (ἢ· τῷ φυλακτηρίῳ τούτῳ ἢ τῇ γλυφῇ ταύτῃ). ὥρᾳ η′ μορφὴν ἔχεις ταύρου, ὄνομά σοι Διατιφη. ὁ ἀναφανὴς γενόμενος· τελεσθήτω πάντα τὰ διὰ τῆς χρείας τοῦ λίθου τούτου. ὥρᾳ θ′ μορφὴν ἔχεις ἱέρακος, ὄνομά σοι Φηους φωουθ· ὁ λωτὸς πεφυκὼς ἐκ τοῦ βυθοῦ· δὸς ἐπιτυχίαν 〈καὶ〉 καιρὸν καλὸν τῷ φυλακτηρίῳ τούτῳ. ὥρᾳ ι′ μορφὴν ἔχεις κυνοκεφάλου, ὄνομά σοι Βεσβυκι· ὥρᾳ ια μορφὴν ἔχεις ἴβεως, ὄνομά σοι Μου ρωφ· τέλει τὸ μέγα φυλακτήριον ἐπ’ ἀγαθῷ τῷ δεῖνα ἀπὸ τῆς σήμερον ἡμέρας εἰς τὸν ἅπαντα χρόνον. ὥρᾳ ιβ μορφὴν ἔχεις κροκοδείλου, ὄνομά σοι Αερθοη. δὺς ὀψὲ γέρων, ὁ ἐπὶ τοῦ κόσμου καὶ [ὑπὸ] τὸν κόσμον, ἄλκιμε θαλασσοκράτωρ· εἰσάκουσόν μου τῆς φωνῆς ἐν τῇ σήμερον ἡμέρᾳ, ἐν τῇ νυκτὶ ταύτῃ, ἐν ταῖς ἁγίαις ὥραις ταύταις, καὶ τελεσθήτω 〈πάντα〉 τὰ διὰ τοῦ λίθου τούτου, διὰ τοῦ φυλακτηρίου τούτου, τὸ δεῖνα πρᾶγμα, ἐφ’ ᾧ αὐτὸ τελῶ.

ναί, κύριε Κμήφ· λουθεουθ· ορφοιχε· ορτιλιβεχουχ· ιερχε· ρουμ ιπεριταω υαϊ. ὁρκίζω γῆν καὶ οὐρανὸν καὶ φῶς καὶ σκότος καὶ τὸν πάντα κτίσαντα θεὸν μέγαν Σαρουσιν , σέ, τὸ παρεστὸς Ἀγαθὸν Δαιμόνιον, πάντα μοι τελέσαι διὰ τῆς χρείας τοῦ δακτυλίου τούτου ἢ 〈λίθ〉 ου.‘ ἐὰν τελῇς, λέγε· ‘εἷς Ζεὺς Σάραπις.‘ Ξίφος Δαρδάνου · πρᾶξις ἡ καλουμένη ξίφος, ἧς οὐδέν ἐστιν ἶσον διὰ τὴν ἐνέργειαν· κλίνει γὰρ καὶ ἄγει ψυχὴν ἄντικρυς, οὗ ἂν θέλῃς, λέγων τὸν λόγον καὶ ὅτι· ‘κλίνω τὴν ψυχὴν τοῦ δεῖνα.‘ λαβὼν λίθον μάγνητα τὸν πνέοντα γλύψον Ἀφροδίτην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱππιστὶ καθημένην ἐπὶ Ψυχῆς, τῇ ἀριστερᾷ χειρὶ κρατοῦσαν, τοὺς βοστρύχους ἀναδεσμευομένην, καὶ ἐπάνω τῆς κεφαλῆς αὐτῆς· αχμαγε ραρπεψει· ὑποκάτω δὲ τῆς Ἀφροδίτης καὶ τῆς Ψυχῆς Ἔρωτα ἐπὶ πόλου ἑστῶτα, λαμπάδα κρατοῦντα καομένην, φλέγοντα τὴν Ψυχήν. ὑποκάτω δὲ τοῦ Ἔρωτος τὰ ὀνόματα ταῦτα· αχαπα Ἀδωναῖε βασμα χαρακω Ἰακὼβ Ἰάω η· φαρφαρηϊ· εἰς δὲ τὸ ἕτερον μέρος τοῦ λίθου Ψυχὴν καὶ Ἔρωτα περιπεπλεγμένους ἑαυτοῖς καὶ ὑπὸ τοὺς πόδας τοῦ Ἔρωτος ταῦτα· σσσσσσσ ς , ὑποκάτω δὲ τῆς Ψυχῆς· ηηηηηηη · γλυφέντι δὲ τῷ λίθῳ καὶ τελεσθέντι χρῶ οὕτως· λαβὼν αὐτὸν ὑπὸ τὴν γλῶσσάν σου στρέφε, εἰς ὃ θέλεις, λέγε τὸν λόγον τοῦτον· ‘ἐπικαλοῦμαί σε, τὸν ἀρχηγέτην πάσης γενέσεως, τὸν διατείναντα τὰς ἑαυτοῦ πτέρυγας εἰς τὸν σύμπαντα κόσμον, σὲ τὸν ἄπλατον καὶ ἀμέτρητον, εἰς τὰς ψυχὰς πάσας ζωογόνον ἐμπνέοντα λογισμόν, τὸν συναρμοσάμενον τὰ πάντα τῇ ἑαυτοῦ δυνάμει, πρωτόγονε, παντὸς κτίστα, χρυσοπτέρυγε, μελαμφαῆ, ὁ τοὺς σώφρονας λογισμοὺς ἐπικαλύπτων καὶ σκοτεινὸν ἐμπνέων οἶστρον, ὁ κρύφιμος καὶ λάθρᾳ ἐπινεμόμενος πάσαις ψυχαῖς· πῦρ ἀθεώρητον γεννᾷς βαστάζων τὰ πάντα ἔμψυχα οὐ κοπιῶν 〈αὐ〉 τὰ βασανίζων, ἀλλὰ μεθ’ ἡδονῆς ὀδυνηρᾷ τέρψει, ἐξ οὗ τὰ πάντα συνέστηκεν.

σὺ καὶ ἐντυγχανόμενος λύπην φέρεις ποτὲ μὲν σώφρων, ποτὲ δὲ ἀλόγιστος, δι’ ὃν ὑπὲρ τὸ καθῆκον τολμῶντες οἱ ἄνθρωποι ἐπὶ τὸν μελανφαῆ σε καταφεύγουσιν. νεώτατε, ἄνομε, ἀνίλαστε, ἀλιτάνευτε, ἀϊδῆ, ἀσώματε, οἰστρογενέτωρ, τοξότα, λαμπαδοῦχε, πάσης πνευματικῆς αἰσθήσεως, κρυφίων πάντων ἄναξ, ταμία λήθης, γενάρχα σιγῆς, δι’ ὃν τὸ φῶς καὶ εἰς ὃν τὸ φῶς χωρεῖ, νήπιε, ὅταν γεννηθῇς ἐνκάρδιος, πρεσβύτατε, ὅταν ἐπιτευχθῇς· ἐπικαλοῦμαί σε, τὸν ἀπαραίτητον, τῷ μεγάλῳ σου ὀνόματι· αζαραχθαραζα λαθα ιαθαλ· υυυ λαθαϊ· αθαλλαλαφ· ιοιοιο· αϊ αϊ· αϊ· αϊ ουεριευ· οιαϊ· λεγετα· ραμαϊ· αμα· ραταγελ· πρωτοφανῆ, νυκτιφανῆ, νυκτιχαρῆ, νυκτιγενέτωρ, ἐπήκοε, ερηκισιθφη αραραχαραρα ηφθισικηρε Ἰαβεζεβυθ ἰὼ βύθιε· βεριαμβω βεριαμβεβω· πελάγιε μερμεργου· κρύφιε καὶ πρεσβύτατε αχαπα· Ἀδωναῖε· βασμα· χαρακω· Ἰακώβ· Ἰάω· Χαρουήρ· Ἁρουήρ· Λαΐλαμ· Σεμεσιλάμ· σουμαρτα· μαρβα· καρβα· μεναβωθ· ηια· ἐπίστρεψον τὴν ψυχὴν τῆς δεῖνα εἰς ἐμὲ τὸν δεῖνα, ἵνα με φιλῇ, ἵνα μου ἐρᾷ, ἵνα μοι δοῖ τὰ ἐν ταῖς χερσὶν ἑαυτῆς.

λεγέτω μοι τὰ ἐν τῇ ψυχῇ ἑαυτῆς, ὅτι ἐπικέκλημαι τὸ μέγα σου ὄνομα.‘ εἰς δὲ πέταλον χρυσοῦν τὸ ξίφος τοῦτο γράφε· ‘εἷς Θουριήλ· Μιχαήλ· Γαβριήλ· Οὐριήλ· Μισαήλ· Ἰρραήλ· Ἰστραήλ· ἀγαθὴ ἡμέρα γένοιτο τῷ ὀνόματι, καὶ ἐμοί, τῷ εἰδότι αὐτὸ καὶ περικειμένῳ, τὴν ἀθάνατον καὶ ἄπτωτον ἰσχὺν τοῦ θεοῦ παρακαλῶ. δὸς δέ μοι πάσης ψυχῆς ὑποταγήν, ἧς ἂν ἐπικαλέσωμαι.‘ καὶ δὸς τὸ πέταλον καταπεῖν πέρδικι καὶ σφάξον αὐτὸν καὶ ἀνελόμενος φόρει περὶ τὸν τράχηλον ἐνθεὶς εἰς τὴν λεπίδα παιδέρωτα βοτάνην. ἔστιν τὸ ἐπίθυμα τὸ ἐμψυχοῦν τὸν Ἔρωτα καὶ ὅλην τὴν πρᾶξιν· μάννης δραχμαὶ δʹ, στύρακος δραχμαὶ δʹ, ὀπίου δραχμαὶ δʹ, ζμύρνης 〈δραχμαὶ δʹ〉 , λίβανος, κρόκος, βδέλλα ἀνὰ ἡμίδραχμον. ἰσχάδα λιπαρὰν μίξας ἀναλάμβανε οἴνῳ εὐώδει πάντα ἴσα καὶ χρῶ εἰς τὴν χρῆσιν. ἐν δὲ χρήσει πρῶτον ἐπίθυε, καὶ οὕτως χρῶ. ἔχει δὲ καὶ πρᾶξιν πάρεδρος, ὃς γίνεται ἐκ μορέας ξύλου· γίνεται δὲ Ἔρως πτερωτὸς χλαμύδα ἔχων, προβεβληκὼς τὸν δεξιὸν πόδα, κοῖλον ἔχων τὸν νῶτον. εἰς δὲ τὸ κοίλωμα βάλε χρυσοῦν πέταλον κυπρίῳ γραφείῳ γράψας ψυχρηλάτῳ τινὸς τὸ ὄνομα· ‘Μαρσαβουταρθε —γενοῦ μοι πάρεδρος καὶ παραστάτης καὶ ὀνειροπομπός.‘ καὶ ἐλθὼν ὀψὲ εἰς τὴν οἰκίαν, ἧς βούλει, κροῦε τὴν θύραν αὐτῆς τῷ Ἔρωτι καὶ λέγε· ‘ἰδέ, ὧδε μένει ἡ δεῖνα, ὅπως παρασταθεὶς αὐτῇ εἴπῃς, ἃ προαιροῦμαι, ὁμοιωθεὶς ᾧ σέβεται θεῷ ἢ δαίμονι.

‘ καὶ ἐλθών σου εἰς τὸν οἶκον θὲς τράπεζαν καὶ ὑποστρώσας σινδόνα καθαρὰν καὶ ἄνθη τὰ τοῦ καιροῦ θὲς ἐπάνω τὸ ζῴδιον, εἶτα ἐπίθυε αὐτῷ καὶ λέγε τὸν λόγον συνεχῶς τὸν τῆς ἐπικλήσεως καὶ πέμπε, καὶ ποιήσει ἀπαραβάτως. ὅταν δὲ κλίνῃς τῷ λίθῳ, ἐκείνῃ τῇ νυκτὶ ὀνειροπομπεῖ· ἄλλῃ γὰρ ἄλλων ἔχεται. .... Μηδένα δίδασκε. ἔστιν γὰρ καρτερὸν λίαν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνυπέρβλητον, ποιοῦν πρὸς πάντας αὐθήμερον, ἁπλῶς ἐσχημένως, λίαν καρτερώτατον. ἔστι δέ· λαβὼν κηροῦ οὐγκίας δ′, ἄγνου καρποῦ οὐγκίας η′, μάννης δραχμὰς δ′. ταῦτα λειώσας χωρὶς ἕκαστον, μίσγε τῇ πίσσῃ καὶ τῷ κηρῷ καὶ πλάσον κύνα δακτύλων ὀκτώ, χάσκοντα. ἐνθήσεις δὲ εἰς τὸ στόμα τοῦ κυνὸς ἀπὸ ἀνθρώπου κεφαλῆς βιαίου ὀστέον καὶ ἐπίγραψον εἰς τὰς πλευρὰς τοῦ κυνὸς τοὺς χαρακτῆρας τούτους· Χ ΖΟΠ [Magical Character] ΨΧ [Magical Character] Ψ καὶ θήσεις ἐπὶ τρίποδα τὸν κύνα. ἐχέτω δὲ ὁ κύων τὸν πόδα ἐπηρμένον τὸν δεξιόν. γράφε δὲ εἰς τὸ πιττάκιον ταῦτα τὰ ὀνόματα καὶ ἃ θέλεις· ‘Ἰάω αστω ιωφη‘ καὶ θήσεις ἐπὶ τὸν τρίποδα τὸ πιττάκιον καὶ ἐπάνω τοῦ πιττακίου στήσεις τὸν κύνα καὶ λέγε ταῦτα πολλάκις τὰ ὀνόματα. καὶ εἰπόντος σοῦ τὸν λόγον ὁ κύων συρίζει. καὶ ἐὰν συρίσειεν, οὐκ ἔρχεται. ἐπίλεγε οὖν πάλιν τὸν λόγον, κἂν ὑλακτήσῃ, ἄγει.

εἶτα ἀνοίξας τὴν θύραν εὑρήσεις παρὰ ταῖς θύραις, ἣν θέλεις. παρακείσθω δὲ τῷ κυνὶ θυμιατήριον, εἰς ὃ ἐπικείσθω λίβανος, λέγων τὸν λόγον. λόγος· ‘βαυκύων, ἐξορκίζω σε, Κέρβερε, κατὰ τῶν ἀπαγξαμένων καὶ τῶν νεκρῶν καὶ τῶν βιαίως τεθνηκότων· ἆξον μοι τὴν δεῖνα τῆς δεῖνα, ἐμοὶ τῷ δεῖνα τῆς δεῖνα. ἐξορκίζω σε, Κέρβερε, κατὰ τῆς ἱερᾶς κεφαλῆς τῶν καταχθονίων θεῶν· ἄγε μοι τὴν δεῖνα τῆς δεῖνα ζουχ ζουκι το παρυ· υφηβαρμω ενωρ· σεκεμι· κριουδασεφη· τριβεψι· ἄγε μοι τὴν δεῖνα τῆς δεῖνα, ἐμοί, τῷ δεῖνα, ἤδη ἤδη, ταχὺ ταχύ.‘ ἐρεῖς δὲ καὶ τὸν κατὰ πάντων λόγον. ταῦτα δὲ ἐν ἐπιπέδῳ ποιήσεις, καθαρῷ τόπῳ. Ἀγωγὴ Πίτυος βασιλέως ἐπὶ παντὸς σκύφου. τούτου ἐντυχία πρὸς Ἥλιον ἐξαιτήσεως· στὰς πρὸς ἀνατολὴν λέγε οὕτως· ‘ἐπικαλοῦμαί σε, κύριε Ἥλιε, καὶ τοὺς ἁγίους σου ἀγγέλους ἐν τῇ σήμερον ἡμέρᾳ, ἐν τῇ ἄρτι ὥρᾳ· διάσωσόν με τὸν δεῖνα· ἐγὼ γάρ εἰμι θηνωρ, ὑμεῖς δέ ἐστε ἅγιοι ἄγγελοι, φύλακες τοῦ Αρδιμαλεχα· καὶ Οραρω μισρηγ· νεφω· Ἀδωναί· αυεβωθι· αβαθαραϊ· θωβευα· σουλμαϊ σουλμαϊθ· ρουτρερουτην· ωφρεωφρι· ωλχαμαωθ· ουτε σουτηαθ· μοντρο· ελατ· χουμιοι· λαθωθ· ωθεθ· δέομαι, δέσποτα Ἥλιε, ἐπάκουσόν μου τοῦ δεῖνα καὶ δός μοι τὴν κατεξουσίαν τούτου τοῦ βιοθανάτου πνεύματος, οὗπερ ἀπὸ σκήνους κατέχω 〈τόδε〉, ἵν’ ἔχω αὐτὸν μετ’ ἐμοῦ, [τοῦ δεῖνα,] βοηθὸν καὶ ἔκδικον, ἐφ’ αἷς ἐὰν χρῄζω πραγματείαις.‘ ἐπὶ τῆς καταδύσεως τοῦ αὐτοῦ πρὸς Ἥλιον λόγος· ‘ἀεροφοιτήτων ἀνέμων ἐποχούμενος αὔραις, Ἥλιε χρυσοκόμα, διέπων φλογὸς ἀκάματον πῦρ, αἰθερίοισι τρίβοισι μέγαν πόλον ἀμφιελίσσων, γεννῶν αὐτὸς ἅπαντ’, ἅπερ πάλιν ἐξαναλύεις.

ἐκ σοῦ γὰρ στοιχεῖ’, ἃ τεταγμένα σοῖσι νόμοισι κόσμον ἅπαντα τρέπουσιν τετρά〈τρο〉πον εἰς ἐνιαυτόν. κλῦθι, μάκαρ· κλῄζω σε, τὸν οὐρανοῦ ἡγεμονῆα γαίης τε χάεός τε καὶ Ἄϊδος, ἔνθα νέμονται δαίμονες ἀνθρώπων, οἱ πρὶν φάος εἰσορόωντες. καὶ νῦν δή σε λιτάζομαι, μάκαρ, ἄφθιτε, δέσποτα κόσμου· ἢν γαίης κευθμῶνα μόλῃς νεκύων τ’ ἐπὶ χῶρον, πέμψον δαίμονα τοῦτον ὅπως μεσάταισιν ἐν ὥραις νυκτὸς ἐλευσόμενον προστάγμασι σοῖς, ὑπ’ ἀνάγκης, οὗπερ ἀπὸ (κεφαλῆς) σκήνους κατέχω τόδε· 〈πάντα μοι ἐκτελέσῃ〉 καὶ φρασάτω μοι, τῷ δεῖνα, ὅσα θέλω γνώμαισιν, ἀληθείῃ καταλέξῃ πραΰς, μειλίχιος μηδ’ ἀντία μοι φρονέοιτο. μηδὲ σὺ μηνίσῃς ἐπ’ ἐμαῖς ἱεραῖσιν ἐπῳδαῖς. ἀλλὰ φύλαξον ἅπαν δέμας ἄρτιον εἰς φάος ἐλθεῖν. καί μοι μηνυσάτω ὁ δεῖνα τὸ τί ἢ πόθεν, ᾗ δύναταί μοι νῦν εἰς ὑπηρεσίαν, καὶ τὸν χρόνον, ὃν παρεδρεύει. ταῦτα γὰρ αὐτὸς ἔδωκας, ἄναξ, ἐν ἀνθρώποισι δαῆναι· ὅτι ἐπικαλοῦμαι τετραμερές σου τοὔνομα· χθεθω: νι λαϊλαμ· Ἰάω· ζουχε πιπτοη: κλῄζω δ’ οὔνομα σόν, Ὦρ’, ὃν Μοιρῶν ἰσάριθμον· αχαϊ φωθωθω· αιη· ιαη· αϊ· ιαη· αϊη· Ἰάω· θωθω φιαχα· (γράμματα λϛ′). ἵλαθί μοι, προπάτωρ, κόσμου πάτερ αὐτογένεθλε.‘ ἐπιθύσας ἄρμαρα καὶ λίβανον ἄτμητον ἀναχώρει. ἀνάκρισις· ὁ κισσὸς φύλλων ιγ . ἄρξαι ἀπὸ τοῦ εὐωνύμου μέρους κατὰ ἓν γράφων ζμύρνῃ καὶ στεφανώσας ἐπίλεγε τὰ αὐτὰ ὀνόματα καὶ ἐπὶ σκύφου· τὸ αὐτὸ γράμμα ἐν τῷ βρέγματι σὺν τοῖς οἰκείοις· ‘σοιθερχαλβαν· οφρουρορ· ερηκισιθφη (λόγος)· Ἰαβε Ζεβυθ· λεγεμας· θμεστας· μεσμυρα·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαυανεχθεν και λοφωτω βρηλαχ· Ἀρχεντεχθα· αψοιερ χαλβαν.‘ τὸ δὲ μέλαν· αἷμα δρακόντειον καὶ αἰθάλη χρυσοχοϊκή.

Πίτυος ἀγωγ ή . ‘βασιλεῖ Ὀστάνῃ Πίτυς χαίρειν. ἐπειδή μοι παρ’ ἕκαστα γράφεις περὶ τῆς τῶν σκύφων ἀνακρίσεως, ἀναγκαῖον ἡγησάμην σοι ἐπιστεῖλαι τήνδε τὴν οἰκονομίαν ὡς οὖσαν ἀξιέραστον καὶ δυναμένην σοι ὑπεραρέσκειν. καί σοι ὑποτάξω ἀπεντεῦθεν τὴν οἰκονομίαν, ἐν ὑστέρῳ δέ σοι αὐτῶν τὰ μελάνια δηλωθήσεται. λαβὼν ὑμένα ὄνειον καὶ ἀποξηράνας ἐν σκιᾷ ἐπίγραφε ἐπ’ αὐτοῦ τὸ ζῴδιον τὸ μηνυθησόμενον καὶ κύκλῳ τὸν λόγον τοῦτον· ‘ααμασι· νουθι· αφθεχενβωχ· πουπαϊειχνερι· τα λουθιανι· σερανομηγρεντι· ει βιλ· λονουχιχ· ειτα φορ· χορτομνουθι· θραχ· φιβωβι· αντερω· ποχορθαροχ· εβοχ· λεσανουαχ· φεορωβις· τραϊον· κωβι· ινουνια· σαφωβι· χιμνουθι· ασρω· χνουφνεν· φαρμι· Βολχοσήθ· εφουκτερω· αβδιδανπιταaυ· εαε· βολ· σαχυ· αχχεριμα· εμιντο· ρωωρια· εν Ἀμοῦν ακρεμφθο· ουτραυνιελ· λαβοχ· φεραχι αμενβολ· βηχ· οσταουα βελθω· ἐξορκίζω σε, νεκύδαιμον, κατὰ τοῦ ἰσχυροῦ καὶ ἀπαραιτήτου θεοῦ καὶ κατὰ τῶν ἁγίων αὐτοῦ ὀνομάτων, παρασταθῆναί μοι ἐν τῇ ἐρχομένῃ νυκτί, οἵᾳ εἶχες μορφῇ, καὶ χρηματίσαι μοι, εἰ δυνατὸς εἶ ἐπιτελέσαι τὸ δεῖνα πρᾶγμα· ἤδη, ἤδη, ταχύ, ταχύ.‘ εἶτα ἐλθών, ὅπου κεῖταί 〈τισ〉, ὠκέως, ἢ ὅπου τι ἀπορέριπται, εἰ κείμενον 〈μὴ〉 ἔχοι(ς), ὑπόστρωσον τὸν ὑμένα πρὸς καταφορὰν τοῦ ἡλίου. ἄπιθι 〈εἰς οἴκουσ〉, καὶ πάντως παρέσται καὶ παρασταθήσεταί σοι ἐν ἐκείνῃ τῇ νυκτί. ἀπαγγέλλει δέ σοι, πῶς ἐτελεύτησεν, καὶ ἐρεῖ σοι πρότερον, εἰ σθένει τι πρᾶξαι ἢ διακονῆσαι. καὶ λαβὼν καλπάσου φύλλον ζωγράφησον τῷ μηνυθησομένῳ σοι μέλανι τὴν θεὸν τήν σοι μηνυθησομένην καὶ κύκλῳ τὸν λόγον τοῦτον (καὶ θὲς αὐτοῦ ἐπὶ τῆς κεφαλῆς ἐκτεταμένον τὸ φύλλον καὶ ἐπιστεφάνου αὐτὸν τῷ κισσῷ τῷ μέλανι, καὶ πάντως σοι παρασταθήσεται διὰ νυκτὸς δι’ ὀνείρων καὶ δεηθήσεταί σου λέγων· ‘ὃ θέλεις, ἐπίταξον, καὶ ποιῶ.‘)· ‘φουβελ· ταυθυ Ἀλδε· μινωουριθι· σενεχω· χεληθιχιτιαθ· μου χω αριαντα· ναραχι μασκελλι (λόγος).

αεβιθω· αχαϊλ· χαωσουνισου· σουνιαρτενωφ· αρχερεφθουμι· βολφαϊ· αρωχω· αβμενθω· φορφορβα· χνουχιοχοιμε· ἐξορκίζω 〈σε〉, νεκύδαιμον, κατὰ τῆς Ἀνάγκης τῶν Ἀναγκῶν παραγενέσθαι πρὸς ἐμέ, τὸν δεῖνα, ἐν τῇ σήμερον ἡμέρᾳ, ἐν τῇ σήμερον νυκτί, καὶ συνθέσθαι μοι τὸ διακονῆσαι. εἰ δὲ μή, ἑτέρας κολάσεις προσδόκα.‘ ἐπὰν δὲ συνθῆται, εὐθέως ἀναστὰς καὶ λαβὼν ἱερατικὸν κόλλημα γράψον ἐπ’ αὐτοῦ τῷ σοι μηνυθησομένῳ μέλανι τὸ ζῴδιον τὸ μηνυθησόμενον καὶ κύκλῳ τὸν λόγον τοῦτον καὶ ὑπόθες αὐτῷ, καὶ παραυτὰ ἄξει καί, ἐὰν ᾖ ἄσχετος, ἀνυπερθέτως, μίαν ἡμέραν μὴ ὑπερθέμενος. πολλάκις δὲ οὐκ ἔσται τοῦ φύλλου τοῦ καλπάσσου χρεία, ἀλλ’ ἐν δευτέρῳ τὸ πιττάκιον τεθήσεται ἐπεντειλαμένου σου τὸ διακονῆσαί σοι. ἄγει δὲ καὶ κατακλίνει καὶ ὀνειροπομπεῖ καὶ κατέχει καὶ ὀνειραιτητεῖ ἅμα. ταῦτά ἐστιν, τὰ ἐπιτελεῖ ἡ μόνη πραγματεία· πρὸς τό, τὸ πράσσεις, τὰς κοινολογίας μόνας μετάστρεφε. πλεῖστοι δὲ τῶν μάγων παρ’ ἑαυτοῖς τὰ σκεύη βαστάξαντες καὶ ἀποθέμενοι ἐχρήσαντο αὐτῷ παρέδρῳ καὶ τὰ προκείμενα διὰ πάσης ὀξύτητος ἐπετέλεσαν· ἔστιν γὰρ ἄνευ πάσης λεσχολογίας, ἐν εὐκοπίᾳ δὲ τῇ πάσῃ εὐθέως τὰ προκείμενα ἐκτελῶν. λόγος. ‘σοὶ λέγω, τῷ καταχθονίῳ δαίμονι, τῷ ἡ οὐσία τῆσδε ([τ]οῦ[δε]) ἐσωματίσθη ἐν τῇδε τῇ νυκτί· πορεύου, ὅπου κατοικεῖ ἥδε (ὃ ὅσδε), καὶ ἄξον αὐτὴν πρὸς ἐμὲ τὸν δεῖνα ἢ διὰ μέσης νυκτὸς ἢ διὰ τάχους. ποίησον τὸ δεῖνα πρᾶγμα, ὅτι τοῦτο θέλει καὶ ἐπιτάσσει σοι ὁ ἅγιος θεὸς Ὄσιρις Κμῆφι σρω. τέλεσον, δαῖμον, τὰ ἐνθάδε γεγραμμένα. τελέσαντι δέ σοι θυσίαν ἀποδώσω, βραδύναντι δέ σοι κολάσεις ἐπενεγκῶ, ἃς οὐ δύνασαι ἐνεγκεῖν, καὶ διατέλεσόν μοι τὸ δεῖνα πρᾶγμα, ἤδη, ἤδη, ταχύ, ταχύ.‘ ἔστιν δὲ τὰ μελάνια τῆς πραγματείας τάδε· καταγράφεται δὲ ὁ μὲν ὑμὴν αἵματι ὀνείῳ ἀπὸ καρδίας ἐσφαγμένου, ᾧ συμμίσγεται αἰθάλη χαλκέως. τὸ δὲ τῆς καλπάσσου φύλλον αἵματι ἱερακείῳ, ᾧ συμμίσγεται αἰθάλη χρυσοχόου. τὸ δὲ τοῦ ἱερατικοῦ χάρτου αἵματι ἐνχέλεως, ᾧ συμμίσγεται

ἀκακία. ταῦτα μὲν οὖν οὕτω ποίει καὶ διεκτελέσας γνοίης, πόσης φύσεως ἔχεται ἡ οἰκονομία αὕτη ἐν τῇ πάσῃ εὐκοπίᾳ πάρεδρον οἰομένη τὰ σκεύη.

4 (2100) φύλασσε δὲ σεαυτόν, οἵῳ βούλει φυλάγματι. ἔστι δὲ τὸ εἰς τὸν ὑμένα γραφόμενον ζῴδιον· ἀνδριὰς λεοντοπρόσωπος περιεζωσμένος, κρατῶν τῇ δεξιᾷ ῥάβδον, ἐφ’ ᾗ ἔστω δράκων, τῇ δὲ ἀριστερᾷ χειρὶ αὐτοῦ ὅλῃ ἀσπίς τις περιειλίχθω, ἐκ δὲ τοῦ στόματος τοῦ λέοντος πῦρ πνεέτω. τὸ δὲ εἰς φύλλον τῆς καλπάσου ἐστὶν ζῴδιον τοῦτο· Ἑκάτη τριπρόσωπος ἑξάχειρ κρατοῦσα ἐν ταῖς χερσὶν λαμπάδας, ⟨ἐκ⟩ δεξιῶν μερῶν τῆς ὄψεως ἔχουσα βοὸς κεφαλὴν, ἐκ δὲ τῶν ἀριστερῶν κυνός, ἡ δὲ μέση παρθένου, σάνδαλα ὑποδεδεμένη. τὸ δὲ εἰς τὸ χάρτιον· Ὄσιρις ἐστολισμένος, ὡς Αἰγύπτιοι μηνύουσιν. κάτοχος σφραγὶς πρὸς τοὺς ἀκαταλλήλους τῶν σκύφων, ἔτι δὲ καὶ τὸ μὴ λέγειν μηδὲ ἓν πάνυ ποιεῖν τούτω⟨ν⟩ · σφράγιζε τὸ στόμα τοῦ σκύφου ἀπὸ ῥύπου θυρῶν Ὀσίρεως καὶ θηκῶν χώμα⟨τοσ⟩. λαβὼν σίδηρον ἀπὸ ἀναγκοπέδης ψυχρηλατήσας ποίησον δάκτυλον, ἐφ’ ᾧ γεγλύφθω λέων ἀκέφαλος, ἀντὶ δὲ τῆς κεφαλῆς ἐχέτω βασίλειον Ἴσιδος, πατείτω δὲ τοῖς ποσὶ σκελετόν (ἵνα ὁ δεξιὸς ποὺς πατῇ τὸ κρανίον τοῦ σκελετοῦ), μέσον δὲ τούτων γλαυκῶπιν αἴλουρον τὸ γοργόνειον ἐνδεδραγμένην κάρα, κύκλῳ τὰ ὀνόματα ταῦτα· ϊαδωρ ινβα νιχαιοπληξ βριθ. Πίτυος Θεσσαλοῦ ἀνάκρισις σκήνους. γράφε εἰς φύλλον καλπάσου ταῦτα· αζηλ βαλεμαχω (γράμματα ιβʹ). μέλαν· μίλτου καὶ ζμύρνης κεκαυμένης καὶ ὠμῆς χυλὸς ἀρτεμισίας καὶ ἀειζώου καὶ καλπάσου. γράψον καὶ ἐνστόμισον. Τρίστιχος Ὁμήρου πάρεδρος · ‘ὣς εἰπὼν τάφροιο διήλασε μώνυχας ἵππουσ‘ ‘ἄνδρας τ’ ἀσπαίροντας ἐν ἀργαλέοισι φόνοισιν‘ ‘αὐτοὶ δ’ ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ.‘ τούτους τοὺς στίχους ἐάν τις ἀποδράσας φορῇ ἐν σιδηρᾷ λάμνῃ, οὐδέποτε εὑρεθήσεται. ὁμοίως τὴν αὐτὴν λάμναν περίαπτε τῷ μέλλοντι ἀποθνήσκειν, καὶ πάντα ἀκούσει, ἃ ἐπερωτᾷς. ἐπειδάν τις καταδεδέσθαι νομίζῃ, ἐπιλεγέτω ὕδατι θαλασσίῳ ῥαίνων [.

4 (2150) …] τε πρὸς ἐπιπομπάς. ἀθλητὴς δὲ ἔχων τὴν λεπίδα ἄλειπτος μένει, ὁμοίως δὲ καὶ ἡνίοχος φορῶν τὴν λεπίδα σὺν λίθῳ μάγνητι. καὶ ἐν δικαστηρίῳ ὡσαύτως. καὶ μονομάχος δὲ ταῦτα φορείτω. καταδίκῳ δὲ σφαγέντι ἁψάμενος εἰπὲ εἰς τὸ οὖς τοὺς στίχους, καὶ ὅσα θέλεις, πάντα σοι ἐρεῖ· σὺ δὲ βαστάξας τὴν λάμναν εἰς τὴν πληγὴν ἕξεις μέγα ἀγαθὸν πρός τε ὑπερέχοντας ἢ δεσπότας ἢ ἑτέρους τινάς· ἔσῃ γὰρ ἔνδοξος, πιστικός· καὶ δαίμονας καὶ θῆρας ἀποπέμπει. φοβηθήσεταί σε πᾶς, ἐν πολέμῳ ἄτρωτος ἔσῃ, αἰτήσας λήμψει, ἐπιχαρὴς ἔσῃ, ἀλλαχθήσῃ, ἧς δ’ ἂν παράψῃ γυναικὸς ἢ ἀνδρός, φιληθήσει· ἔνδοξος, μακάριος ἔσει, κληρονομίας ἕξεις, εὐτυχήσεις, φάρμακα νικήσεις, καταδέσμους ἀναλύσεις καὶ ἐχθροὺς νικήσεις. ἔστιν δὲ ὁ λόγος ὁ λεγόμενος, ὅταν βάψῃς τὴν λάμναν. λόγος· ‘ὁ δεῖνα, λε⟨ί⟩πας τὸ γλυκὺ φῶς· καὶ ὑπηρέτει μοι, εἰς ὃ ἂν χρείαν σου ἔχω, ὅταν σε καλέσω (κοινόν), ὅτι ἐξορκίζω σε κατὰ τῶν χθονίων θεῶν γογγυλόρυγχε, ὀμβρολίγματε, θοηρυσηρις· ὑπηρέτει μοι, εἰς ὃ ἐάν σε ἐπικαλέσωμαι.‘ λέγε τὸν κατὰ πάντων λόγον. καθιέρωσις τῆς πλακός· ἐλθὼν οὖν εἰς οἶκον καθαρὸν θήσεις τράπεζαν, ἐν ᾗ ἤτω σινδὼν καθαρὰ καὶ ἄνθη τὰ τοῦ καιροῦ, καὶ θύσεις ἀλέκτορα λευκόν. παρακείσθω δὲ αὐτῷ πόπανα ζʹ, πλακοῦντες ζʹ, λύχνοι ζʹ. σπένδε γάλα, μέλι, οἶνον, ἔλαιον. ἔστιν δὲ ὁ λόγος ὁ λεγόμενος, ὅταν ἀφιεροῖς τὴν πλάκα· ‘ἧκέ μοι, ὁ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν δεσπότης ὑπάρχων, δύσιν καὶ ἀνατολὴν ἐφορῶν καὶ μεσημβρίαν καὶ ἄρκτον ἀποβλέπων, ὁ τῶν ὅλων δεσπότης, ὁ Αἰὼν τῶν Αἰώνων· σὺ εἶ ὁ κοσμοκράτωρ, Ῥᾶ, Πᾶν αρ· πενχνουβι· βριντατηνωφρι· βρισκυλμα· αρουζαρβα· μεσενκριφι· νιπτουμι· χμουμαωφι· ϊα· ιου· ιυω· αιι· ουω αεηιουω Βαυβώ, Βαυβώ, Φόρβα, Φόρβα Ὀρεοβαζάγρα ωυοιηεα ερ.‘ τὸν δὲ ⟨λόγον⟩ κατὰ τῆς Ἀνάγκης· μασκελλι (λόγος) ιαρχθα· εχθαβα· χοϊξ· ϊαβουχ· ιαβωχ’ καὶ τὸν κατὰ πάντων λέγε. ἡ μὲν τελετὴ αὕτη, αἱ δὲ πράξεις αἵδε· ἐπὶ χρηματισμοῦ· εἰς φύλλον δάφνης ἐπίγραψον ζμύρνᾳ μετὰ αἵματος βιαίου καὶ ὑπόθες ὑπὸ τὴν λάμναν· ‘Ἀβραά, σὺ εἶ ὁ τὰ πάντα προμηνύων μαριαφραξ.

‘ ἐπὶ δὲ ἁρματορακτῶν· ἐπίθυε μονόσκορδον καὶ ὄφεως γῆρας, γράφε δὲ ἐπὶ πλακὶ κασσιτερίνῃ· ‘νεβουτοσουαληθ βευ Ἐρβηθ Πακερβηθ καὶ ωνουφ· κατάστρεψον τὸν δεῖνα καὶ τοὺς σὺν αὐτῷ.‘ κατορύξεις δὲ ἐπὶ ἀώρου θήκην τὴν λεπίδα ἐπὶ ἡμέρας γʹ· εἰς ὃν κεῖται, ἐκεῖνος διημερεύσει. ἐπὶ δὲ κατόχων· εἰς τὸ ὄστρακον ἀπὸ θαλάσσης γράφε ἐκ τοῦ ὑποκειμένου μέλανος προσβαλὼν μιλτάριον Τυφῶνος καὶ καταχώσεις εἰς ἀώρου μνῆμα σελήνης οὔσης διαμέτρου ἡλίου. ἔστιν δὲ τὰ προσγραφόμενα οἱ στίχοι οἱ γʹ καὶ ὑποκάτω· Ἰὼ Βολχοσήθ, Ἰακούβ ιαι Ἰὼ Παταθναξ Ἐρβηθ Ἰὼ Πακερβηθ. κρεμάσθω δὲ ἡ λάμνα ὡς ἐν πρώτοις. ἐπὶ δὲ χαριτησίων καὶ φίλτρων· ἐν χρυσῇ λεπίδι γράψον ‘μυρι μυρι νες μαχεσνων.‘ προϋπόθες δὲ τῇ σιδηρᾷ ἡμέρας γʹ καὶ ἄρας καθαρίως φόρει. ἐπὶ δὲ ἀγωγίμων ἐπίθυε ῥόδα καὶ ῥοῦν καὶ λαβὼν φύλλα μυρσίνης ἐπίγραφε τῷ μέλανι· ‘σθενεπιω αρρωριφρασις υυυυ ιιιι, ἆξον τὴν δεῖνα τῷ δεῖνα.‘ καὶ δίωκε τὸν λόγον καὶ τὴν οὐσίαν ὑπόθες αὐτῆς. προσβάλλεις δὲ τῷ ζμυρνομέλανι ἀρτεμισίας μονοκλώνου. 〈κρεμασθ〉ήτω δὲ ἡ λάμνα ἐκ ταινίου, ἐκ τῶν τόπων ἄρας, ὅθεν ἐργάζονται οἱ τὰ ἔρια ποιοῦντες. Δέλτος ἀποκρουστικὴ πρὸς Σελήνη ν . λόγος· ‘χαῖρε, ἱερὸν φῶς, ταρταροῦχε, φωτοπλήξ, χαῖρε, ἱερὰ αὐγὴ ἐκ σκότους εἰλημμένη, ἀναστατοῦσα πάντα βουλαῖς ἀστόχοις· καλέσω, καὶ ἀκούσῃ μου τῶν ἱερῶν λόγων φρικτῆς Ἀνάγκης πάντοτέ σοι ὑπεστρωμένης. δεθεῖσα τρὶς λύθητι, ἐλθέ, βρίμασον τὸν δεῖνα· Κλωθὼ γὰρ ἐπικλώσει σοι λίνα. νεῦσον, μάκαιρα, πρὶν στυγνήν σε καταλάβω, πρὶν τοὺς ξιφήρεις ἀναλάβῃς σου κονδύλους, πρινή τε λυσσῇς, ἰσοπάρθενος κύων. τὸ δεῖνα ποιήσεις, κἂν θέλῃς κἂν μὴ θέλῃς, ὅτι οἶδά σου τὰ φῶτα πρὸ〈σ〉 στιγμῆς μέτρον καὶ τῶν καλῶν σου μυσταγωγὸς πραγμάτων ὑπουρ〈γόσ〉 εἰμι καὶ συνίστωρ, παρθένε.

τὸ δεῖ γενέσθαι, τοῦτ’ οὐκ ἔξεστι φυγεῖν. τὸ δεῖνα ποι〈ή〉σεις, κἂν θέλῃς κἂν μὴ θέλῃς. ἐνεύχομαί σοι τήνδε νύκτα κυρίαν, ἐν ᾗ τὸ σὸν φῶς ὕστατον χωρίζεται, ἐν ᾗ κύων κέχηνε καὶ οὐ κλείει στόμα, ἐν ᾗ τὸ κλεῖθρον ἠνέῳγε Ταρτάρου, ἐν ᾗ προλυσσᾷ Κέρβερος κεραύνοπλος· ἔγειρε σεαυτὴν, ἡλιωτίδος τροφοῦ χρῄζουσα Μήνη, νερτέρων ἐπίσκοπε, ἐνεύχομαί σοι, Ξείνη τ’ Αὔγη, παρθένε, ἐνεύχομαί σοι, δαιδάλη καίπή, θοή, λοφαίη, ὁλκῖτι φασγάνων, θυμάνδρεια, παιωνία, προμηθική, πολυκλείτη, νύσσα, ποδάρκη, ἀλκίμη, πορφυρέη, σκοτείη, Βριμώ, ἄμβροτε, ἐπήκοε, Περσία, νομαῖε, Ἀλκυόνη, χρυσοστεφή, πρέσβειρα, φαεννώ, πελαγίη, εἰδωλίη, ἰνδαλίμη, δείχτειρα, βαριδοῦχε, εὔστοχε, αὐτοφυής, μιτρίη, ἀνδρείη, στρατηλατί, Δωδωνίη, Ἰδαῖα, νεοπενθής, λυκώ, στηλῖτι, οὐλοή, ἀκρίη, χαροπή, ὀξυβόη, Θασία, Μήνη, πύματ’, ἠγκαλισμένη ἀκτῖνας, ἡ σώτειρα, πανγαίη, κυνώ, Κλωθαίη, πανδώτειρα, δολίχη, κυδίμη, ἄνασσα, ἀρηγέ, ἀγλαή, εὐρύστοχε, αἰζηίη, ἁγία, ἡμέρη, ἀφθίτη, λιγεῖα, λιπαροπλόκαμε, θαλία, ζαθείη, χρυσῶπι, τερψίμβροτε, Μινῴα, λοχιάς, Θηβαία, τλητή, δολόεσσα, ἀτασθάλη, ἀκτινοχαῖτι, ἰοχέαιρα, παρθένε· δόλου γέμουσαν καὶ φόβου σωτηρίην ἤ ς’ οἶδα, πάντων ὡς μάγων ἀρχηγέτης, Ἑρμῆς ὁ πρέσβυς, Ἴσιδος πατὴρ ἐγώ. ἄκουσον, ηω Φορβα Βριμω Σαχμι· νεβουτοσουαληθ· τοῦτο γάρ σου σύμβολον, τὸ σάνδαλόν σου ἔκρυψα καὶ κλεῖδα κρατῶ. ἤνοιξα ταρταρούχου κλεῖθρα Κερβέρου καὶ νύκτα τὴν ἄωρον παρέδωκα σκότει. ῥόμβον στρέφω σοι, κυμβάλων οὐχ ἅπτομαι, ἄθρησον εἴς σε· Νειλωίτιδος χάριν κάτοπτρον, ἣν ἰδοῦσα σαυτὴν, θαυμάσεις, πρὶν ἢ μέλαν φῶς ἐκπτύσῃς ἀπ’ ὀμμάτων. ὃ δεῖ σε ποιῆσαι, τοῦτο δεῖ σε μὴ φυγεῖν· τὸ δεῖ μοι ποιήσεις, κἂν θέλῃς, κἂν μὴ θέλῃς· ἵππος, κόρη, δράκαινα, λαμπάς, ἀστραπή, ἀστήρ, λέων, λύκαινα, αηω· ηη· σκεῦος παλαιόν, κόσκινόν μου σύμβολον, καὶ ψωμὸς εἷς, κόραλλος, αἷμα τρυγόνος, ὄνυξ καμήλου καὶ βοὸς θρὶξ παρθένου, Πανὸς γόνος, πῦρ ἡλιωτίδος βολῆς, χαμαίλυκον, νήθουσα, παιδέρως, ἄρις, γλαυκῆς γυναικὸς σῶμα διεσκελισμένον, σφιγγὸς μελαίνης ἡ φύσις τορουμένη· ἅπαντα ταῦτα σύμβολόν μου πνεύματος.

ὅλης ἀνάγκης δεσμὰ συνραγήσεται, καὶ κρύψει σὸν φῶς Ἥλιος πρὸς τὸν νότον, Τηθύς τε τὴν σὴν κουφίσει οἰκουμένην, Αἰὼν κραδαίνει, κινηθήσεται οὐρανός, Κρόνος φοβηθεὶς τὸν βεβιασμένον σου νοῦν πέφευγε εἰς Ἅιδην, νερτέρων ἐπίσκοπος. Μοῖραί σου τὸν ἀνέκλειπτον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥίπτουσι μίτον, ἂν μὴ μαγείης τῆς ἐμῆς ἀναγκάσῃς βέλος πετηνὸν ταχύτατον τέλος δραμεῖν. οὐ γὰρ φυγεῖν ἔξεστι μοῖράν μου λόγων, ὃ δεῖ γενέσθαι· μὴ σα ⟨υ⟩ τὴν ἀναγκάσῃς ἄνωθεν εἰς ἄνω τ’ ἀκούειν συμβόλων. τὸ δεῖ, ποιήσεις, κἂν θέλῃς κἂν μὴ θέλῃς· ἀχρείου φωτὸς πρίν σε μοῖρα καταλάβῃ, ποίησον, ὃ λέγω, ταρταροῦχε παρθένε. ἔδησα δεσμοῖς τοῖς Κρόνου τὸν σὸν πόλον καὶ ὀπιδνῇ ἀνάγκῃ ἀντίχειρά σου κρατῶ. οὐ γίνεται αὔριον, εἰ μὴ γένηται, ὃ βούλομαι. ἔνευσας Ἑρμῇ, τῷ θεῶν ἀρχηγέτῃ, εἰς τήνδε τὴν πρᾶξιν συμβαλεῖν· ς’ ἦ μὴν ἔχω. ἄκουσον, ἡ θεωροῦσα καὶ θεωρουμένη· βλέπω σε, καὶ βλέπεις με, εἶτα κἀγώ σοι σημεῖον ἐρῶ· χάλκεον τὸ σάνδαλον τῆς ταρταρούχου, στέμμα, κλείς, κηρύκιον, ῥόμβος σιδηροῦς καὶ κύων κυάνεος, κλεῖθρον τρίχωρον, ἐσχάρα πυρουμένη, σκότος, βυθός, φλόξ· Ταρτάρου σημάντρια φοβοῦσα Ἐρινῦς δαίμονας τεραστίους, εἰσῆλθας; ἥκεις; ὀργίσθητι, παρθένε, τῷ δεῖνα, ἐχθρῷ τῶν ἐν οὐρανῷ θεῶν, Ἡλίου Ὀσίριδος καὶ συνεύνου Ἴσιδος. οἷον λέγω σοι, εἴσβαλε εἰς τοῦτον κακόν, ὅτι οἶδα σὰ τὰ καλὰ καὶ μεγάλα, Κόρη, ὀνόματα σεμνά, οἷς φωτίζεται οὐρανὸς καὶ γαῖα πίνει τὴν δρόσον καὶ κυοφορ ⟨εῖ⟩ , ἐξ ὧν ὁ κόσμος αὔξεται καὶ λείπεται. Ευφορβα φορβα· φορβορεου· φορβα φορβορ φορβορ φορβορ· βορβορφα· ηρφορ· φορβαϊω· φορβορ φορβορ βοροφ· φορφορ βορ· φορβορ· αω· ιωη· φορβορφορ· ευφορ βοφορ· ευοιεω φωθ· ιωφωθ ιωφωθ φωθιωφ· αωωωθω ωαϊ ιω εωωιω ἁάἁ εε ηη ιουυ ωωω ουυυυ αεηιουω υυυ ἄνασσα, Ἀρκεντεχθα, τῷ κυρίῳ Ὀσίριδι ὁ παραφαίνων θεός, τέλει μοι, Μιχαήλ, ἀγγέλων ἀρχάγγελε‘.

φυλακτήριον τῆς πράξεως· … Πρακτικόν · λαβὼν κιρρὸν κηρὸν καὶ χυλοὺς ἀερίας καὶ σεληνίτιδος μῖξον καὶ πλάσον Ἑρμῆν ὑπόκενον, τῇ εὐωνύμῳ κρατοῦντα κηρύκιον καὶ τῇ δεξιᾷ μαρσίππιον. γράφε εἰς χάρτην ἱερατικὸν τὰ ὀνόματα ταῦτα, καὶ θεωρήσεις ἀκατάπαυστον· ‘χαϊωχεν ουτιβιλμεμνουωθ· ατραυϊχ· δὸς πόρον καὶ πρᾶξιν τῷ τόπῳ τούτῳ, ὅτι Ψεντεβηθ ἔνθαδε κατοικεῖ.‘ καὶ ἐνθεὶς ἀνάπλασον τῷ ὁμοίῳ κηρῷ, κατάθου δὲ αὐτὸ εἰς τοῖχον, ἀθεώρητον, στέφε δὲ αὐτὸν τῇ ἔξω καὶ ἐπίθυσον αὐτῷ ἀλέκτορα σπείσας οἶνον Αἰγύπτιον, κάε δὲ αὐτῷ λύχνον ἀμίλτωτον. Καταπρακτικὸν καὶ κατακλητικόν ἐργαστηρίου ἢ οἰκίας ἢ ὅπου ἐὰν αὐτὸ ἱδρύσῃς· ἔχων αὐτὸ πλουτήσεις, ἐπιτεύξῃ· τοῦτο γὰρ ἐποίησεν Ἑρμῆς Ἴσιδι πλαζομένῃ, καὶ ἔστιν μὲν θαυμαστόν, καλεῖται δὲ ἐπαιτητάριον. λαβὼν κηρὸν ἄπυρον, τὸν λεγόμενον πρόπολιν, πλάσον ἄνθρωπον ἔχοντα τὴν δεξιὰν χεῖρα ἐπαιτοῦσαν καὶ εἰς τὴν εὐώνυμον πήραν καὶ βακτηρίαν. ἔστω δὲ περὶ τὴν βακτηρίαν δράκων εἰλιγμένος, καὶ αὐτὸς ἐν περιζώματι καὶ ἐπὶ πόλον ἑστὼς ἔχοντα είλιγμένον δράκοντα, ὡς ἡ Ἶσις. στήσεις δὲ αὐτὸ ἱδρύσας εἰς μονόξυλον ἀρκεύθινον, ὀρυκτὸν ἔχων θέρμουθιν καὶ κάλαθον ἐπάνω κεκρυμ ⟨μ⟩ ένον· πλάσσε δὲ αὐτὸν κατὰ θεὸν νουμηνίαν καὶ τέλει εὐφραινόμενος καὶ τὸν ἐπὶ μελῶν αὐτοῦ λόγον ἐπανάγνωθι, αὐτὸν γ′ ἀποδιαστ ⟨ήσ⟩ ας, ἀνὰ τετράκις· γράφε δὲ κατὰ μέρος πιττάκια ἱερατικῷ χάρτῃ κινναβάρει καὶ χυλῷ ἀρτεμισίας καὶ ζμύρνᾳ. ὅταν δὲ αὐτὸ ὑψώσῃς εἰς ὃν αἱρῇ τόπον, θύε αὐτῷ λευκομέτωπον ⟨ὸν⟩ ἄγριον καὶ ὁλοκαυστήσας ἰδὲ τὰ σπλάγχνα ἀποπυρίσας ἐπὶ ξύλοις ἰτεΐνοις οὕτω κατάφαγε. ἔστιν δὲ τὰ ἐν ⟨ἑκάστῳ⟩ τῷ πιττακίῳ γραφόμενα· λόγος εἰς τὴν πήραν· ‘εφ’ ερουχιω χωραι δαριδα μηθευει αβαχθιε· εμεσιε εχενη ιαε ϊεν εβαψ· φνεωα· ενθωνιχαενθα· τρομοχμουσω θεραωχειν σασι σαμαχιωθ· ουασα· αμακαραλα καιως λασοι:‘ ἐπὶ δὲ τῆς κεφαλῆς· ‘ωαι ιη ηιω ναω· ουλαβεθεν· θερμαθ· ενεσιε·‘ εἰς δὲ τὸν τράχηλον· ‘θαλαα μεμαραχω χεθ· θρου φεν φθαι·‘ εἰς δὲ τὸν δεξιὸν ὦμον· ‘ημαα χνα θουε βωλερι·‘ εἰς δὲ τὸν εὐώνυμον· ‘αριαω ιηε συψο ϊθεν· βαχθιφηρψοϊ· θενιβον·‘ εἰς δὲ τὴν κοιλίαν· ‘αμαμαμαρ αιιι ου μαμω μου ομβα·‘ ἐπὶ ἱερῷ ὀστέῳ· ‘ιανοα φθουθο οθομ· μαθαθου·‘ εἰς δὲ τὸν δεξιὸν μηρόν· ‘αριν θεα· ραγνι· μηθεθιω· χρη· ιη· ιη· ερε·‘ εἰς δὲ τὸν εὐώνυμον μηρόν· ‘ηϊ· ηιν· υεαϊω· ερενψ· τεφητ· παραου· ανηι·‘ εἰς δὲ τὸ μόριον· ‘ηερωθησονηεν· θνιβιθ· ευεχεν·‘ εἰς δὲ τὴν δεξιὰν κνήμην· ‘μιανικουηι βιους·‘ εἰς δὲ τὴν εὐώνυμον· ‘χνου τουωυμουχος ονιω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ʻ ὑπὸ τὸ πέλμα τὸ δεξιόν· ʻοὐράνιον.ʻ εἰς δὲ τὸ εὐώνυμον· ʻανουψιε.ʻ εἰς δὲ τὸν νῶτον μέχρι τῶν γλουτῶν· ʻετεμψις ψφοψ ιαιαηιοο.ʻ εἰς δὲ τὸν δράκοντα τὸ ὄνομα τοῦ Ἀγαθοῦ Δαίμονος, ὅ ἐστιν, ὡς λέγει Ἐπαφρόδιτος, τὸ ὑποκείμενον· ʻΦρὴ ανωϊ φωρχω φυυυυ ρορψις οροχωωϊʻ, ὡς δὲ ἐν τῷ χάρτῃ, ᾧ εὗρον, μετεβλήθη τὸ πραγματικόν, οὕτως· ʻΑρπονκνουφιʻ λόγος. ὁ λόγος οὗτος τῆς πράξεως· ʻλαμβάνω σε παρὰ βουκόλον τὸν ἔχοντα τὴν ἔπαυλιν πρὸς λίβα, λαμβάνω σε τῇ χήρᾳ καὶ τῷ ὀρφόντῃ. δός μοι οὖν χάριν, ἐργασίαν εἰς ταύτην μου τὴν πρᾶξιν, φέρε μοι ἀργύρια, χρυσόν, ἱμ[ατ]ι[σ]μόν, πλοῦτον πολύολβον ἐπ’ ἀγαθῷ.ʻ Ἀγωγή · σκευὴ ἐπιθύματος σεληνιακοῦ ἄγουσα ἀσχέτους καὶ ἀνουσιάστους μονοημέρους, κατακλίνει γενναίως καὶ ἀναιρεῖ ἰσχυρῶς, ὀνειροπομπεῖ καλλίστως, ὀνειραιτητεῖ θαυμαστῶς καὶ ἐν πλείσταις ἀποδείξεσιν ἐθαυμάσθη οὐδεμίαν ἔγκλισιν ἔχουσα τούτων. ἐπίθυμα· ἐπεδείξατο Παχράτης, ὁ προφήτης Ἡλιουπόλεως, Ἁδριανῷ βασιλεῖ ἐπιδεικνύμενος τὴν δύναμιν τῆς θείας αὐτοῦ μαγείας. ἦξεν γὰρ μονόωρον, κατέκλινεν ἐν ὥραις β′, ἀνεῖλεν ἐν ὥραις ζ′, ὀνειροπόμπησεν δὲ αὐτὸν βασιλέα ἐκδο〈κ〉ιμ〈ά〉ζοντος αὐτοῦ τὴν ὅλην ἀλήθειαν τῆς περὶ αὐτὸν μαγείας· καὶ θαυμάσας τὸν προφήτην διπλᾶ ὀψώνια αὐτῷ ἐκέλευσεν δίδοσθαι.

λαβὼν μυγαλὸν ἐκθέωσον πηγαίῳ ὕδατι καὶ λαβὼν κανθάρους σεληνιακοὺς δύο ἐκθέωσον ὕδατι ποταμίῳ καὶ καρκίνον ποτάμιον καὶ στῆρ ποικίλης αἰγὸς παρθένου καὶ κυνοκεφάλου κόπρον, ἴβεως ὠὰ δύο, στύρακος δραχμὰς β′, ζμύρνης δραχμὰς β′, κρόκου δραχμὰς β′, κυπέρεως Ἰταλικῆς δραχμὰς δ′, λιβάνου ἀτμήτου δραχμὰς δ′, μονογενὲς κρόμμυον· ταῦτα πάντα βάλε εἰς ὅλμον σὺν τῷ μυγαλῷ καὶ τοῖς λοιποῖς καὶ κόψας καλλίστως ἔχε ἐπὶ τῶν χρειῶν ἀποθέμενος εἰς πυξίδα μολιβῆν. καὶ ὅταν βούλῃ πράττειν, ἀνελόμενος ὀλίγον καὶ ποιήσας ἀνθρακιὰν ἀναβὰς ἐπὶ δώματος ὑψηλοῦ ἐπίθυε λέγων τὸν λόγον τοῦτον ἀνατολῆς οὔσης, καὶ παραχρῆμα ἥξει. λόγος· ʻδιασταλήτω μοι πᾶσα νεφῶν σκοτία, καὶ ἐπιλαμψάτω μοι ἡ θεὸς Ἀκτιῶφις καὶ ἀκουσάτω μου τῆς ἱερᾶς φωνῆς· βαίνω γὰρ καταγγέλλων τὴν διαβολὴν τῆς μιαρᾶς καὶ ἀνοσίας, τῆς δεῖνα· διέβαλεν γάρ σου τὰ ἱερὰ μυστήρια ἀνθρώποις εἰς γνῶσιν. ἡ δεῖνά ἐστιν ἡ εἰποῦσα ὅτι—ʻ〈οὐκ〉 ἐγώ εἰμι εἰποῦσα ὅτι· ἐγὼ ἴδον τὴν μεγίστην θεὸν καταλιποῦσαν τὸν πόλον τὸν οὐράνιον, ἐπὶ γῆς γυμνοσάνδαλον, ξιφηφόρον, ἄτοπον ὄνομα 〈ὀνομά〉σασανʻ. ἡ δεῖνά ἐστιν ἡ εἰποῦσα· ʻἐγὼ τ〈ὴν θεὸν〉 αἷμα πίνουσαν.ʻ ἡ δεῖνα εἶπεν, οὐκ ἐγώ, Ἀκτιῶφι Ἐρεσχιγὰλ Νεβουτοσουαληθ· φορφορβα· Σατραπάμμων. χοιριξιη· σαρκοβόρα· βάδισον πρὸς τὴν δεῖνα καὶ βάσταξον αὐτῆς τὸν ὕπνον καὶ δὸς αὐτῇ καῦσιν ψυχῆς, κόλασιν φρενῶν καὶ παροίστρησιν, καὶ ἐκδιώξασα αὐτὴν ἀπὸ παντὸς τόπου καὶ πάσης οἰκίας ἆξον αὐτὴν ὧδε, πρὸς ἐμέ, τὸν δεῖνα.ʻ ταῦτα εἰπὼν θῦσον καὶ ἀναστενάξας ἀναποδίζων κατάβηθι, καὶ παραχρῆμα ἐλεύσεται· ἔπεχε δὲ τῇ ἀγομένῃ, ὅπως ἀνοίξῃς αὐτῇ, εἰ δὲ μή, τελευτήσει. ἐπὶ κατακλίσεως τούτοις χρῆσαι τοῖς λόγοις προστιθεὶς ὅτι· ʻκατάκλινον τὴν δεῖνα, ἣν δεῖνα.ʻ ἐπὶ δὲ ἀναιρέσεως λέγε· ʻἀνάσπασον αὐτῆς τὸ πνεῦμα, κυρία, τῶν μυκτήρων τῆς δεῖνα.ʻ ἐπὶ δὲ ὀνειροπομπῶν· ʻὁμοιωθεῖσα, ᾧ σέβεται θεῷ.ʻ ἐπὶ δὲ ὀνειραιτητοῦ λέγε· ʻπαραστάθητί μοι, κυρία, καὶ χρημάτισόν μοι περὶ τοῦ δεῖνα πράγματος.ʻ καὶ παρασταθήσεταί σοι καὶ ἅπαντα ἐρεῖ ἀψευδῶς.

μὴ οὖν εὐχερῶς πράσσῃς, εἰ μὴ ἀνάγκη σοι γένηται. ἔχει δὲ φυλακτήριον πρὸς τὸ μή σε καταπεσεῖν· εἴωθεν γὰρ ἡ θεὸς τοὺς ἀφυλακτηριαστοὺς τοῦτο πράσσοντας ἀεροφ〈ερ〉εῖς ποιεῖν καὶ ἀπὸ τοῦ ὕψους ἐπὶ τὴν γῆν ῥῖψαι. διὸ οὖν ἀναγκαῖον ἡγησάμην καὶ τοῦ φυλακτηρίου τὴν πρόνοιαν ποιήσασθαι, ὅπως ἀδιστάκτως πράσσῃς. κρύβε. λαβὼν ἱερατικὸν κόλλημα φόρει περὶ τὸν δεξιὸν βραχίονά σου, ἐν ᾧ ἐπιθύσεις. ἔστι δὲ τὰ γραφόμενα ταῦτα· ʻμουλαθι· χερνουθ· αμαρω· μουλιανδρον· διαφύλαξόν με ἀπὸ πονηροῦ παντὸς δαίμονος, ἤτοι ἀρσενικοῦ πονηροῦ ἢ θηλυκοῦ.ʻ κρύβε, υἱέ. δεύτερος λόγος μετὰ τὸ θῦσαί σε πρῶτον· κάλλιον δέ σέ ἐστιν εἰπεῖν πρὸ τοῦ σε ἐπιθῦσαι. ἔστιν δὲ λόγος συνάψας τῷ πρώτῳ· ʻ〈θύω σοι〉 τόδ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄρωμα, Διὸς τέκος, ἰοχέαιρα, Ἄρτεμι, Περσεφόνη, ἐλαφηβόλε, νυκτοφάνεια, τρίκτυπε, τρίφθογγε, τρικάρανε Σελήνη, θρινακία, τριπρόσωπε, τριαύχενε καὶ τριοδῖτι, ἣ τρισσοῖς. ταλάροισιν ἔχεις φλογὸς ἀκάματον πῦρ καὶ τρίοδον μεθέπεις τρισσῶν δεκάδων τε ἀνάσσεις καὶ τρισὶ μορφαῖσι καὶ φλέγμασι καὶ σκυλάκεσσι. δεινὴν ἐξ ἀτόνων πέμπεις ὀξεῖαν ἰωήν, φρικτὸν ἀναυδήσασα θεὰ τρισσοῖς στομάτεσσι. κλαγγῆς σῆς ἀκούοντα τὰ κοσμικὰ πάντα δονεῖται, νερτέριαί τε πύλαι καὶ Λήθης ἱερὸν ὕδωρ καὶ Χάος ἀρχαίτατον καὶ Ταρτάρου χάσμα φαεινόν· ἣν πάντες ἀθάνατοι, ἥν τε θνητοὶ ἄνθρωποι, οὔρεά τε ἀστερόεντα, νάπαι καὶ δένδρεα πάντα καὶ ποταμοὶ κελαδοῦντες ἰδ' ἀτρύγετός τε θάλασσα, ἠχὼ ἐρημαίη καὶ δαίμονες οἱ κατὰ κόσμον φρίσσουσί σε, μάκαιρα, ἀκούοντες ὄπα δεινήν. δεῦρ' ἴθι μοι, νυχία, θηροκτόνε, δεῦρ' ἐπ' ἀγωγῆς, ἥσυχε καὶ δασπλῆτι, τάφοις ἔνι δαῖταν ἔχουσα, εὐχαῖσιν ἐπάκουσον ἐμαῖς, πολυώδυνε Σελήνη, ἡ νυκταιροδύτειρα, τρικάρανε, τριώνυμε Μήνη, Μαρζουνη, φοβερὰ καὶ ἁβρονόη καὶ Πειθώ, δεῦρ' ἴθι μοι, κερατῶπι, φαεσφόρε, ταυρεόμορφε, ἱπποπρόσωπε θεά, κυνολύγματε, δεῦρο, λύκαινα, καὶ μόλε νῦν, νυχία, χθονία, ἁγία, μελανείμων, ἣν ἀνακυκλεῖται κόσμου φύσις ἀστερόφοιτος, ἡνίκ' ἄγαν αὔξῃς. σὺ τὰ κοσμικὰ πάντα τέθεικας· γεννᾷς γὰρ σὺ πάντα ἐπὶ χθονὸς ἠδ' ἀπὸ πόντου καὶ πτηνῶν δ' ἑξῆς παντοῖα γένη παλίνεδρα, πανγεννήτειρα καὶ ἐρωτοτόκεια Ἀφροδίτη, λαμπαδία, φαέθουσα καὶ αὐγάζουσα Σελήνη· ἀστρο[δ]ία καὶ οὐρανία, δᾳδοῦχε, πυρίπνου, τετραπροσωπεινή, τετραώνυμε, τετραοδῖτι· χαῖρε, θεά, καὶ σαῖσιν ἐπωνυμίαις ἐπάκουσον, οὐρανία, λιμενῖτι, ὀρίπλανε εἰνοδία τε, νερτερία, βυθία, αἰωνία σκοτία τε· ἐλθ' ἐπ' ἐμαῖς θυσίαις καί μοι τόδε πρᾶγμα τέλεσσον εὐχομένῳ τε ἐπάκουσον ἐμοί, λίτομαί σε, ἄνασσα.

' τούτῳ ἐπὶ τῶν ἐπ[αν]αγκαστικῶν χρῶ· δύναται γὰρ πάντα ἐπιτελεῖν, μηδὲ πυκνῶς δὲ ποίει πρὸς Σελήνην, εἰ μή, 〈ὃ〉 ἐπάξιον ἦν ἐνεργείας, πράσσεις. ἐπὶ δὲ τῶν ἐναντίων ἐπιθυμάτων ἐνδιαβόλων ὄντων χρῶ τῇ ὑποκειμένῃ στήλῃ λέγων οὕτως. ἔστιν δὲ ἐπάναγκος λόγος γʹ. 'ἡ δεῖνά σοι θύει, θεά, δεινόν τι θυμίασμα· αἰγός τε ποικίλης στέαρ καὶ αἷμα καὶ μύσαγμα, ἰχῶρα παρθένου νεκρᾶς καὶ καρδίαν ἀώρου καὶ οὐσίαν νεκροῦ κυνὸς καὶ ἔμβρυον γυναικὸς καὶ λεπτὰ πίτυρα τῶν πυρῶν καὶ λύματα ὀξυόεντα, ἅλα, στέαρ ἐλάφου νεκρᾶς σχῖνόν 〈τε〉 μυρσίνην τε, δάφνην ἄτεφρον, ἄλφιτα καὶ καρκίνοιο χηλάς, σφάγνον, ῥόδα, πυρῆνά τε καὶ κρόμμυον τὸ μόνον, σκόρδον τε, σύκων ἄλφιτον, κόπρον κυνοκεφάλοιο ὠόν τε ἴβεως νεᾶς—ἃ μὴ θέμις—τοῖς σοῖς ἔθηκε βωμοῖς, ξύλοις τε τοῖς ἀρκευθίνοις φλόγας πυρὸς βαλοῦσα ἱέρακα τὸν πελαγοδρόμον καὶ γῦπά σοι σφαγιάζει καὶ μυγαλόν, τὸ σόν, θεά, μυστήριον μέγιστον. ἔλεξε δ' ἄλγη ταῦτά σε δεδρακέναι ἀπηνῶς· κτανεῖν γὰρ ἄνθρωπόν σε ἔφη, πιεῖν τὸ δ' αἷμα τούτου, σάρκας φαγεῖν, μιτρήν τε σὴν εἶναι τὰ ἔντερα αὐτοῦ, καὶ δέρμα ἔχειν δορῆς ἅπαν κεἰς τὴν φύσιν σου θεῖναι, 〈πεῖν〉 αἷμα ἱέρακος πελαγίου, τροφήν τε κάνθαρόν σοι. ὁ Πὰν δὲ σῶν κατ' ὀμμάτων γονὴν ἀθέμιτον ὦρσε· ἐκγίνεται κυνοκέφαλος, ὅταν αἱ μηνιαῖαι καθάρσεις· σὺ δ', Ἀκτιῶφι, κοίρανε, μόνη τύραννε, κραιπνὴ Τύχη θεῶν καὶ δαιμόνων νεβουτοσουαληθ· ιωϊ· λοιμου λαλον Συριστί· ηταρονκον βυθου πνουσαν· καθινβεραο· εστοχεθ· ορενθα· αμελχεριβιουθ· σφνουθι· στίξον πικραῖς τιμωρίαις τὴν δε〈ῖνα〉 τὴν ἄθεσμον, ἣν πάλιν ἐγώ σοι κατάτροπον ἐναντίως ἐλέ[γ]ξω.

καλῶ σε, τριπρόσωπον θεάν, Μήνην, ἐράσμιον φῶς, Ἑρμῆν τε καὶ Ἑκάτην ὁμοῦ, ἀρσενόθηλυν ἔρνος, μουφωρ· Φόρβα, βασίλεια Βριμώ, δεινὴ καὶ θεσμία καὶ Δαρδανία, πανοπαῖα, δεῦρο, ιωιη, παρθένε, εἰνοδία καὶ ταυροδράκαινα σύ, Νύμφη καὶ ἱπποκύων καὶ ν〈ε〉υσίκρανε καὶ Μινώη τε κραταιή· εαλανινδω, δεῦρο, ατεης ενιδελιδιμα ἄνασσα φαιαρα· μηδιξα εμιθηνϊω, μόλε μοι, ϊνδεομη, δεῦρο, Μεγαφθη, δεῦρο ἥξει, ἄγε μοι τὴν δεῖνα τάχιστα, τὴν πάντα σαφῶς, θεά, αὐτὸς ἐλέγξω, ὅσα σοὶ θύουσα δέδορκεν.' Διαβολὴ πρὸς Σελήνην ποιοῦσα πρὸς πάντα καὶ πρὸς πᾶσαν πρᾶξιν· ἄγει γὰρ μονοώρους, ὀνειροπομπεῖ, κατακλίνει, ὀνειροθαυπτεῖ, ἀναιρεῖ ἐχθροὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταστρέφοντός σου τὸν λόγον, ὡς ἐὰν θέλῃς. ἴσθι δὲ πεφυλακτηριασμένος πρὸ πάντων καὶ μὴ ἀτάκτως τῇ πραγματείᾳ προσερχόμενος· εἰ δὲ μήγε, μηνίει ἡ θεός. σκευὴ φυλακτηρίου τῆς πραγματείας· λαβὼν μάγνητα τὸν πνέοντα ποίησον ὡς καρδίαν, καὶ ἐνγεγλύφθω Ἑκάτη περικειμένη καρδίᾳ ὡς μηνίσκια. εἶτα τὸ εἰκοσαγράμματον τὸ φωνᾶεν χάραξον, καὶ φόρει περὶ τὸ σῶμα. ἔστιν δὲ τὸ ὑποκείμενον ὄνομα τὸ γραφόμενον· ‘αευω ηιε· ωα· εωη· εωα· ωι· εωϊ.‘ πάντα γὰρ δύναται ἐπιτελουμένως οὗτος ὁ λόγος. ἁγνῶς μέντοι γε, μὴ πυκνῶς δὲ ποίει ἢ παρέργως μάλιστα πρὸς τὴν Σελήνην. ἐπίθυε δὲ μᾶλλον ἐπὶ ξύλων ἀρκευθίνων στύρακα Κρητικὸν καὶ κατάρχου τοῦ λόγου. λόγος ὁ λεγόμενος· ‘ἡ δεῖνά σοι ἐπιθύει, θεά, ἐχθρόν τι θυμίασμα· αἰγὸς στέαρ τῆς ποικίλης καὶ αἷμα καὶ μύσαγμα, κύνειον ἔμβρυον καὶ ἰχῶρα παρθένου ἀώρου καὶ καρδίαν παιδὸς νέου σὺν ἀλφίτοις μετ’ ὄξους, ἅλας τε καὶ ἐλάφου κέρας, σχῖνόν τε μυρσίνην τε δάφνην ἄτεφρον, εὐχερῶς, καὶ καρκίνοιο χηλάς, σφάγνον, ῥόδον, πυρῆνά σοι καὶ κρόμμυον τὸ μοῦνον, σκόρδον τε μυγαλοῦ κόπρον, κυνοκεφάλειον αἷμα, ᾠόν τε ἴβεως νεᾶς —ὃ μὴ θέμις γενέσθαι—ἐν σοῖς ἔθηκε βωμίοις ξύλοις ἀρκευθίνοισιν.

ἡ δεῖνά σε δεδρακέναι τὸ πρᾶγμα τοῦτ’ ἔλεξεν· κτανεῖν γὰρ ἄνθρωπόν σε ἔφη, πιεῖν δὲ αἷμα τούτου, σάρκας φαγεῖν, μίτρην δὲ σὴν λέγει τὰ ἔντερα αὐτοῦ καὶ δέρμα ἑλεῖν δορῆς ἅπαν καὶ εἰς τὴν φύσιν σου θεῖναι, ⟨πεῖν⟩ ἱέρακος αἷμα πελαγίου, τροφὴν δὲ κάνθαρον σήν. ὁ Πὰν δὲ σῶν κατ’ ὀμμάτων γονὴν οὐ θεμιτὸν ὦσεν, ἐκγίνεται κυνοκέφαλος ὅλῃ τῇ μηνιαίᾳ καθάρσει. σὺ δ’, Ἀκτιῶφι κοίρανε, μόνη τύραννε, Σελήνη, Τύχη θεῶν καὶ δαιμόνων, Νεβουτοσουαληθ· ϊω ιμι· βουλλον· ενουρτιλαιη (ἄλλως· ‘νουμιλλον· εσορτιλης βαθυπνου σανκανθαρα· μιβεραθ· εντοχε· θω ρενθα· ϊμουη· σορενθα).‘ τεῦξον πικραῖς τιμωρίαις τὴν δεῖνα, τὴν ἄθεσμον, ἣν πάλιν ἐγώ σοι κατάτροπον ἐναντίως ἐλέ ⟨γ⟩ ξω (ὅσα δὲ βούλει, κοινά, ἃ λέγει πρὸς τὴν θεὸν ἄθεσμα)· ἀναγκάσει γὰρ τῷ λόγῳ καὶ τὰς πέτρας ῥαγῆναι.‘ ἔστιν οὖν τὸ ἐπίθυμα τὸ ἀγαθοποιόν, ὃ θύεις πρώτῃ καὶ δευτεραίᾳ ἡμέρᾳ (τῇ δὲ τριταίᾳ μετὰ τοῦ ἐπανάγκου καὶ τὸ ἐπίθυμα τὸ ἐπαναγκαστικόν), ἔστι οὖν τὸ ἀγαθοποιόν· λίβανος ἄτμητος, δάφνη, μυρσίνη, πυρήν, σταφὶς ἀγρία, μαλάβαθρον, κόστος. κόψας ὁμοῦ πάντα ἀναλάμβανε οἴνῳ Μενδησίῳ καὶ μέλιτι καὶ ποίει κολλύρια κυάμοις ἴσα. ἐπίθυμα ἀναγκαστικόν· ὅτε καὶ τὸν ἐπάναγκον τὸν προκείμενον λέγεις τῇ τριταίᾳ, καὶ ἐπίθυε. ἔστι δὲ μυγαλός, αἰγὸς ποικίλης παρθένου στέαρ, κυνοκεφάλου οὐσία, ἴβεως ᾠόν, καρκίνος ποτάμιος, κάνθαρος τέλειος σεληνιακός, ἀρτεμισία μονόκλων, ἠρμένη ἀνατολῇ, κυνὸς οὐσία, σκόρδον μονογενές. ἀνάλαβε ὄξει. ποιήσας κολλούρια σφράγιζε δακτυλίῳ ὁλοσιδήρῳ, ὁλοστόμῳ, ἔχοντι Ἑκάτην καὶ κύκλῳ τὸ ὄνομα ‘Βαρζου φερβα.‘ τὸ δὲ φυλακτήριον, ὃ δεῖ σε φορεῖν· εἰς φιλύρινον γράψον κινναβάρει τὸ ὄνομα τοῦτο· ‘εποκωπτ· κωπτο βαϊ βαιτοκαρακωπτο καρακω πτο χιλοκωπτο βαϊ (γράμματα ν′) φύλαξόν με ἀπὸ παντὸς δαίμονος ἀερίου καὶ ἐπιγείου καὶ ὑπογείου καὶ παντὸς ἀγγέλου καὶ φαντάσματος καὶ σκιασμοῦ καὶ ἐπιπομπῆς, ἐμέ, τὸν δεῖνα.‘ καὶ εἱλήσας φοινικίνῳ δέρματι καὶ ἀπαρτήσας φόρει περὶ τὸν τράχηλον.

φυλακτήριον εἰς πέταλον ἀργυροῦν· [Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character] [Magical Character] ε [Magical Character] π [Magical Character][Magical Character] Ἄλλη ἀγωγή · λαβὼν κύμινον Αἰθιοπικὸν καὶ αἰγὸς ποικίλης παρθένου στέαρ καὶ ὁμοῦ ποιήσας ἐπίθυμα ἐπίθυε πρὸς Σελήνην ιγ , ιδ , ἐπὶ γεΐνου θυμιατηρίου, ἐπὶ δώματος ὑψηλοῦ, ἐπὶ ἀνθράκων. λόγος· ‘δεῦρ’, Ἑκάτη, γιγάεσσα, Διώνης ἡ μεδέουσα, Περσία, Βαυβώ, Φρούνη, ἰοχέαιρα, ἀδμήτη, Λυδή, ἀδαμάστωρ, εὐπατόρεια, δᾳδοῦχε, ἡγεμόνη, κατα ⟨καμ⟩ ψυψαύχενε, Κούρη· κλῦθι, διαζεύξασα πύλας ἀλύτου ἀδάμαντος, Ἄρτεμι, ἣ καὶ πρόσθεν ἐπίσκοπος ἦσ ⟨θ⟩ α, μεγίστη, πότνια, ῥηξίχθων, σκυλακάγεια, πανδαμάτειρα, εἰνοδία, τρικάρανε, φαεσφόρε, παρθένε σεμνή· σὲ καλῶ, ἐλλοφόνα, ⟨δο⟩

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λόεσσα, Ἀυδναία, πολύμορφε· δεῦρ’, Ἑκάτη, τριοδῖτι, πυρίπνοα φάσματ’ ἔχουσα χἀτ’ ἔλαχες δεινὰς μὲν ὁδούς, χαλεπὰς δ’ ἐπιπομπάς· τὰν Ἑκάταν σε καλῶ σὺν ἀποφθιμένοισιν ἀώροις, κεἴ τινες ἡρώων ἔθανον ἀγύναιοί τε ἄπαιδες, ἄγρια συρίζοντες, ἐπὶ φρεσὶ θυμὸν ἔδοντες, (οἱ δέ· ἀνέμων εἴδωλον ἔχοντες)· στάντες ὑπὲρ κεφαλῆς τῆς δεῖνα ἀφέλεσθε αὐτῆς τὸν γλυκὺν ὕπνον, μηδέποτε βλέφαρον βλεφάρῳ κολλητὸν ἐπέλθοι, τειρέσθω δ’ ἐπ’ ἐμαῖς φιλαγρύπνοισι μερίμναις. εἰ δέ τιν’ ἄλλον ἔχους’ ἐν κόλποις κατάκειται, κεῖνον ἀπωσάσθω, ἐμὲ δ’ ἐν φρεσὶν ἐνκαταθέσθω καὶ προλιποῦσα τάχιστα ἐπ’ ἐμοῖς προθύροισι παρέστω, δαμνομένη ψυχῇ ἐπ’ ἐμῇ φιλότητι καὶ εὐνῇ. ἀλλὰ σύ, ὦ Ἑκάτη, πολυώνυμε, παρθένε, Κούρα, 〈ἐ〉λθέ, θεά, 〈κ〉έλομαι, ἅλωος φυλακὰ καὶ ἰωγή, Περσεφόνα, τρικάρανε, πυρίφοιτε, βοῶπι, βουορφορβη, πανφόρβα, φορβαρα· Ἀκτιωφι, Ἐρεσχιγάλ Νεβουτοσουαληθ· παρὰ θυραῖς πυπυληδεδεζω ῥηξιπύλη τε. δεῦρ’ Ἑκάτη, πυρίβουλε, καλῶ σε ἐπ’ ἐμαῖς ἐπαοιδαῖς· μασκελλι μασκελλω· φνουκενταβαωθ· ὀρεοβαζάγρα ῥηξίχθων ἱπποχθων· ὀρεοπηγανύξ· μορμορον τοκουμβαι (κοινόν)· μαινομένη ἡ δ(εῖνα) ἥκοι ἐπ’ ἐμαῖσι θύραισι τάχιστα, ληθομένη τέκνων συνηθείης τε τοκήων καὶ στυγέουσα τὸ πᾶν ἀνδρῶν γένος ἠδὲ γυναικῶν ἐκτὸς ἐμοῦ, τοῦ δεῖνα, μόνον με δ’ ἔχουσα παρέστω, ἐν φρεσὶ δαμνομένη κρατερῆς ὑπ’ ἔρωτος ἀνάγκης. [2760]

4 (2750) θενωβ· τιθεληβ· ηνωρ· τενθηνωρ· πολυώνυμε, κυζαλεουσα παζαους. διὸ καλλιδηχμα καὶ σαβ′ φλέξον ἀκοιμήτῳ πυρὶ τὴν ψυχὴν τῆς δεῖνα. καὶ Ὠρίων καὶ ὁ ἐπάνω καθήμενος Μιχαήλ· ἑπτὰ ὑδάτων κρατεῖς καὶ γῆς, κατέχων, ὃν καλέουσι δράκοντα μέγαν ακροκοδηρε μουϊσρω Χαρχαρ Ἀδωναί, Ζεῦ δη Δαμναμενεῦ κυνοβιου εζαγρα· κοινόν. Ἰὼ πασικράτεια καὶ Ἰὼ πασιμεδέουσα· Ἰὼ παντρεφέουσα Ζηλαχνα· καὶ σααδ· σαβιωθη· νουμιλλον· ναθομεινα· ἀεὶ κεινηθ· ἄλκιμος Θησεὺς ονυξ, περίφρον Δαμναμενεύς, ἀμυναμένη, αλκυια θεά, νέκυια, Περσία σεβαρα, ακρα. σπεῦδε τάχιστα, ἤδη ἐπ’ ἐμαῖσι θύραισι παρέστω‘ (κοινόν). Εὐχὴ πρὸς Σελήνην ἐπὶ πάσης πράξεως· ‘ἐλθέ μοι, ὦ δέσποινα φίλη, τριπρόσωπε Σελήνη, εὐμενίῃ δ’ ἐπάκουσον ἐμῶν ἱερῶν ἐπαοιδῶν· νυκτὸς ἄγαλμα, νέα, φαεσίμβροτε, ἠριγένεια, ἡ χαροποῖς ταύροισιν ἐφεζομένη, βασίλεια, Ἠελίου δρόμον ἶσον ἐν ἅρμασιν ἱππεύουσα, ἣ Χαρίτων τρισσῶν τρισσαῖς μορφαῖσι χορεύεις ἀστράσιν κωμάζουσα, Δίκη καὶ νήματα Μοιρῶν, Κλωθὼ καὶ Λάχεσις ἠδ’ Ἄτροπος εἶ, τρικάρανε, Περσεφόνη τε Μέγαιρα καὶ Ἀλληκτώ, πολύμορφε, ἡ χέρας ὁπλίζουσα κελαιναῖς λαμπάσι δειναῖς, ἡ φοβερῶν ὀφίων χαίτην σείουσα μετώποις, ἡ ταύρων μύκημα κατὰ στομάτων ἀνιεῖσα, ἡ νηδὺν φολίσιν πεπυκασμένη ἑρπυστήρων, ἰοβόλοις ταρσοῖσιν κατωμαδίοισι δρακόντων, σφιγγομένη κατὰ νῶτα παλαμναίοις ὑπὸ δεσμοῖς, νυκτιβόη, ταυρῶπι, φιλήρεμε, ταυροκάρηνε, ὄμμα δέ σοι ταυρωπόν, ἔχεις σκυλακώδεα φωνήν, μορφὰς δ’ ἐν κνήμαισιν ὑποσκεπάουσα λεόντων. [2805]

4 (2800) μορφόλυκον σφυρόν ἐστιν, κύνες φίλοι ἀγριόθυμοι· τοὔνεκά σε κλήζουσι Ἑκάτην, πολυώνυμε, Μήνην, ἀέρα μὲν τέμνουσαν, ἅτ’ Ἄρτεμιν ἰοχέαιραν, τετραπρόσωπε θεά, τετραώνυμε, τετραοδῖτι, Ἄρτεμι, Περσεφόνη, ἐλαφηβόλε, νυκτοφάνεια, τρίκτυπε, τρίφθογγε, τρικάρανε, τριώνυμε Σελήνη, θρινακία, τριπρόσωπε, τριαύχενε καὶ τριοδῖτι, ἣ τρισσοῖς ταλάροισιν ἔχεις φλογὸς 〈ἀκ〉άματον πῦρ καὶ τριόδων μεδέεις τρισσῶν δεκάδων τε ἀνάσσεις· ἵλαθί μοι καλέοντι καὶ εὐμενέως εἰσάκουσον, ἡ πολυχώρητον κόσμον νυκτὸς ἀμφιέπουσα, δαίμονες ἣν φρίσσουσιν καὶ ἀθάνατοι τρομέουσιν, κυδιάνειρα θεά, πολυώνυμε, καλλιγένεια, ταυρῶπι, κερόεσσα, θεῶν γενέτειρα καὶ ἀνδρῶν καὶ Φύσι παμμήτωρ· σὺ γὰρ φοιτᾷς ἐν Ὀλύμπῳ, εὐρεῖαν δέ τ’ ἄβυσσον ἀπείριτον ἀμφιπολεύεις. ἀρχὴ καὶ τέλος εἶ, πάντων δὲ σὺ μούνη ἀνάσσεις· ἐκ σέο γὰρ πάντ’ ἐστὶ καὶ εἴς 〈σ’〉, αἰών 〈ι〉ε, πάντα τελευτᾷ. ἀέναον διάδημα ἑοῖς φορέεις κροτάφοισιν, δεσμοὺς ἀρρήκτους, ἀλύτους μεγάλοιο Κρόνοιο καὶ χρύσεον σκῆπτρον ἑαῖς κατέχεις παλάμαισιν. γράμματα σῷ σκήπτρῳ α[ὐ]τὸ[ς] Κρόνος ἀμφεχάραξεν, δῶκε δέ σοι φορέειν, ὄφρ’ ἔμπεδα πάντα μένοιεν· ‘Δαμνώ, Δαμνομένεια· Δαμασάνδρα· Δαμνοδαμία.‘ σὺ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χάους μεδέεις αραραχαραρα ηφθισικηρε. χαῖρε, θεά, καὶ σαῖσιν ἐπωνυμίαις ἐπάκουσον. θύω σοι τόδ’ ἄρωμα, Διὸς τέκος, ἰοχέαιρα, οὐρανία, λιμ ⟨ε⟩ νῖτι, ὀρίπλανε εἰνοδία τε, νερτερία νυχία τε, ἀϊδωναία σκοτία τε, ἥσυχε καὶ δασπλῆτι, τάφοις ἔνι δαῖτα ἔχουσα, Νύξ, Ἔρεβος, Χάος εὐρύ· σὺ γὰρ δυσάλυκτος Ἀνάγκη, Μοῖρα δ’ ἔφυς, σύ τ’ Ἐρινύς, βάσανος, ὀλέτις σύ, Δίκη σύ. [2855]

4 (2850) Κέρβερον ἐν δεσμοῖσιν ἔχεις, φολίσιν σὺ δρακόντων κυανέα, ὀφεοπλόκαμε καὶ ζωνοδράκοντι· αἱμοπότι, θανατηγέ, φθορηγενές, καρδιόδαιτε, σαρκοφάγε καὶ ἀωροβόρε, καπετόκτυπε, οἰστροπλάνεια· ἐλθὲ ἐπ’ ἐμαῖς θυσίαις καί μοι τόδε πρᾶγμα ποίησον.‘ ἐπίθυμα τῆς πράξεως· ἐπὶ μὲν τῶν ἀγαθοποιῶν ἐπίθυε στύρακα, ζμύρναν, σφάγνον, λίβανον, πυρῆνα, ἐπὶ δὲ τῶν κακοποιῶν οὐσίαν κυνὸς καὶ αἰγὸς ποικίλης, ὁμοίως καὶ παρθένου ἀώρου. φυλακτήριον τῆς πράξεως· λαβὼν λίθον σιδηρίτην, ἐν ᾧ ἐνγεγλύφθω Ἑκάτη τριπρόσωπος, καὶ τὸ μὲν μέσον πρόσωπον ἤτω κερασφόρου παρθένου, τὸ δὲ εὐώνυμον κυνός, τὸ δὲ ἀπὸ δεξιῶν αἰγός. μετὰ δὲ τὸ γλυφῆναι πλύνας αὐτὸ νίτρῳ καὶ ὕδατι χάλασον αὐτὸ εἰς βιαίου αἷμα, εἶτα παράθεσιν αὐτῷ ποιήσας τὸν αὐτὸν λόγον λέγε ἐπὶ τῆς τελετῆς. Ἀγωγ ή . πρὸς τὸν ἀστέρα τῆς Ἀφροδίτης ἐπίθυμα· περιστερᾶς λευκῆς αἷμα καὶ στέαρ, ζμύρνα ὠμὴ καὶ ὀπτὴ ἀρτεμισία, ὁμοῦ ποίει κολλούρια καὶ ἐπίθυε πρὸς τὸν ἀστέρα ἐπὶ ἀμπελίνων ξύλων ἢ ἀνθράκων. ἔχε δὲ καὶ ἐγκέφαλον γυπὸς εἰς τὸν ἐπάναγκον, ἵνα ἐπιθύῃς, ἔχε δὲ καὶ φυλακτήριον θηλείας ὄνου ὀδόντα τῶν ἄνωθεν δεξιοῦ σ ⟨ι⟩ αγονίου ἢ μόσχου πυρροῦ ἱεροθύτου, ἀριστερῷ βραχίονι ἀνουβιακῷ ἐνδεδεμένον. ἐπάναγκος τῆς πράξεως· ‘εἰ δὲ καθὼς θεὸς οὖσα μακρόψυχόν τι ποιήσῃς, οὐκ ὄψῃ τὸν Ἄδωνιν ἀνερχόμενον Ἀΐδαο. εὐθὺ δραμὼν ἤδη τοῦτον ἐγὼ δήσω δεσμοῖς ἀδάμασιν· φρουρήσας σφίγξω Ἰξιόνιον τροχὸν ἄλλον, κοὐκέτι πρὸς φάος ἥξει, κολαζόμενος δὲ δαμεῖται· διὸ ποίησον, ἄνασσα, ἱκετῶ· ἆξον τὴν δεῖνα, ἣν δεῖνα, τάχιστα μολοῦσαν ἐλθεῖν ἐν προθύροισιν ἐμοῦ τοῦ δεῖνος, οὗ ἡ δεῖνα, φιλότητι καὶ εὐνῇ, οἴστρῳ ἐλαυνομένην, κέντροισι βιαίοις ὑπ’ ἀνάγκῃ, σήμερον, ἄρτι, ταχύ. [2905]

4 (2900) ὁρκίζω γάρ σε, Κυθήρη· νουμιλλον βιομβιλλον· Ἀκτιωφι Ἐρεσχιγάλ· Νεβουτοσουαληθ· φρουρηξια θερμιδοχη βαρεωνη‘. ἐπάναγκος· ‘ἀφρογενὴς Κυθέρεια, θεῶν γενέτειρα καὶ ἀνδρῶν, αἰθερία, χθονία, Φύσι παμμήτωρ, ἀδάμαστε, ἀλληλοῦχε, πυρὸς μεγάλου περιδινήτειρα, ἡ τὸν ἀεικίνητον ἔχεις περιδινέα Βαρζαν ἄρρηκτον· σὺ δὲ πάντα τελεῖς, κεφαλήν τε πόδας τε, σαῖς τε θελημοσύναις περιμίγνυται ἱερὸν ὕδωρ, ἡνίκα κινήσεις τὸν ἐν ἄστροις χείρεσι Ῥουζω, ὀμφαλὸν ὃν κατέχεις, κόσμου. κινεῖς δὲ τὸ ⟨ν⟩ ἁγνὸν [ἵμ]ε[ρο]ν εἰς ἀνδρῶν ψυχάς, ἐπὶ δ’ ἄνδρα γυναῖκας· κἀνδρὶ γυναῖκα τίθησι ἐράσμιαν ἤματα πάντα. ἡμετέρη βασίλεια, θεά, μόλε ταῖσδ’ ἐπαοιδαῖς, πότνια Ἀρρωριφρασι, Γωθητινι, Κυπρογένεια, σουϊ ης θνοβοχου· θοριθε σθενεπιω ἄνασσα σερθενεβηϊ, καὶ τῇ δεῖνι, ἣν δεῖνα, βάλε πυρσὸν ἔρωτα, ὥστ’ ἐπ’ ἐμοῦ τοῦ δεῖνος, οὗ ἡ δεῖνα, φιλότητι τακῆναι ἤματα πάντα. σὺ δέ, μάκαρ, Ῥουζω, τάδε νεῦσον ἐμοί, τῷ δεῖνι, ὡς σὸν ἐν ἄστροις ἐς χορὸν οὐκ ἐθέλοντα ἧξας ἐπὶ λέκτρα μιγῆναι, ἀχθεὶς δ’ ἐξαπίνης καὶ τὸν μέγαν ἔστρεφε Βαρζαν, στρεφθείς τ’ οὐκ ἀνεπαύσατ’ ἐλισσόμενός τε δονεῖται ... διὸ ἆξον μοι τὴν δεῖνα, ἣν δεῖνα, φιλότητι καὶ εὐνῇ· σὺ δέ, Κυπρογένεια θεά, τέλει τελέαν ἐπαοιδήν.‘ ἐὰν ἴδῃς τὸν ἀστέρα λαμπυρίζοντα, σημεῖον, ὅτι ἐκρούσθη, ἐὰν δὲ σπινθηροβολοῦντα, ἐν τῇ ὁδῷ ἦλθεν, ἐὰν δὲ παραμήκην ὡς λαμπάδα, ἤδη ἧξεν. Ἀγωγὴ ἀγρυπνητικ ή . λαβὼν νυκτερίδος ὀφθαλμοὺς ζῶσαν αὐτὴν ἀπόλυσον καὶ λαβὼν σταίτιον ὠμὸν ἢ κηρὸν ἄπυρον πλάσον κυνάριον καὶ τὸν δεξιὸν ὀφθαλμὸν τῆς νυκτερίδος εἰς τὸν δεξιὸν ὀφθαλμὸν τοῦ κυναρίου ἐνθὲς καὶ τὸν εὐώνυμον ὁμοίως εἰς τὸν εὐώνυμον. καὶ λαβὼν βελόνην διείρων τὴν οὐσίαν εἰς αὐτὴν τὴν βελόνην, διεῖρον διὰ τῶν ὀφθαλμῶν τοῦ κυναρίου, ἵνα ἡ οὐσία φαίνηται, καὶ βάλε αὐτὸ εἰς κωθώνιον καινὸν καὶ πιττακίσας αὐτὸ σφράγισον αὐτὸ ἰδίῳ δακτυλίῳ ἔχον ⟨τι⟩ κορκοδείλους ἀντικεφάλους αὑτοῖς καὶ κατάθου αὐτὸ εἰς τρίοδον σημειωσάμενος, ἵνα, ἂν θέλῃς αὐτὸ ἀρεῖν, εὕρῃς. [2945]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4 (2950) λόγος ὁ γραφόμενος εἰς τὸ πιττάκιον· ‘ἐξορκίζω σὲ τρὶς κατὰ τῆς Ἑκάτης Φορφορβα βαιβω φωρβωρβα, ἵνα ἀποβάληται τὸ πυρινὸν ἡ δεῖνα ἐν τῷ ὀφθαλμῷ ἢ καὶ ἀγρυπνῇ κατὰ νοῦν μηδένα ἔχουσα, εἰ μὴ ἐμὲ τὸν δεῖνα μόνον. ἐξορκίζω σὲ κατὰ τῆς Κόρης Τριοδίτιδος γενομένης, ἥτ’ ἔστιν ἀληθὴς ἡ μήτηρ τ· [ . ] (τοὺς θέλεις) φορβεα Βριμω νηρηατο δαμων· Βριμων σεδνα· δαρδαρ· πανοπαῖα, ἴωπη· ποίησον τὴν δεῖνα ἀγρυπνοῦσάν μοι διὰ παντὸς [αἰῶνος].‘ Πα ρ ’ Αἰγυπτίοις ἀεὶ βοτάναι λαμβάνονται οὕτως· ὁ ῥιζοτόμος καθαίρει πρότερον τὸ ἴδιον σῶμα, πρότερον νίτρῳ περιρ 〈ρ〉 άνας καὶ τὴν βοτάνην θυμιάσας ῥητίνῃ ἐκ πίτυος εἰς γ′ περιενέγκας τὸν τόπον, εἶτα κῦρι θυμιάσας καὶ τὴν διὰ τοῦ γάλακτος σπονδὴν χεάμενος μετ’ εὐχῶν ἀνασπᾷ τὸ φυτὸν ἐξ ὀνόματος ἐπικαλούμενος τὸν δαίμονα, ᾧ ἡ βοτάνη ἀνιέρωται, πρὸς ἣν λαμβάνεται χρείαν, παρακαλῶν ἐνεργεστέραν γενέσθαι πρὸς αὐτήν. ἐπίκλησις δ’ αὐτῷ ἐπὶ πάσης βοτάνης καθ’ ὅλον ἐν ἄρσει, ἣν λέγει, ἐστὶν ἥδε· ‘ἐσπάρης ὑπὸ τοῦ Κρόνου, συνελήμφθης ὑπὸ τῆς Ἥρας, διετηρήθης ὑπὸ τοῦ Ἄμμωνος, ἐτέχθης ὑπὸ τῆς Ἴσιδος, ἐτράφης 〈ὑπ’〉 ὀμβρίου Διός, ηὐξήθης ὑπὸ τοῦ Ἡλίου καὶ τῆς δρόσου. σὺ 〈εἶ〉 ἡ δρόσος ἡ τῶν θεῶν πάντων, σὺ 〈εἶ〉 ἡ καρδία τοῦ Ἑρμοῦ, σὺ εἶ τὸ σπέρμα τῶν προγόνων θεῶν, σὺ εἶ ὁ ὀφθαλμὸς τοῦ Ἡλίου, σὺ εἶ τὸ φῶς τῆς Σελήνης, σὺ εἶ ἡ σπουδὴ τοῦ Ὀσίρεως, σὺ εἶ τὸ κάλλος καὶ ἡ δόξα τοῦ Οὐρανοῦ, σὺ εἶ ἡ ψυχὴ τοῦ δαίμονος τοῦ Ὀσίρεως, ἡ κωμάζουσα ἐν παντὶ τόπῳ, σὺ εἶ τὸ πνεῦμα τοῦ Ἄμμωνος. ὡς τὸν Ὄσιριν ὕψωσας, οὕτως ὕψωσον σεαυτὴν καὶ ἀνατεῖλον, ὡς καὶ ὁ Ἥλιος ἀνατέλλει καθ’ ἑκάστην ἡμέραν· τὸ μῆκός σου ἴσον ἐστὶ τῷ τοῦ Ἡλίου μεσουρανήματι, αἱ δὲ ῥίζαι τοῦ βυθοῦ, αἱ δὲ δυνάμεις σου ἐν τῇ καρδίᾳ τοῦ Ἑρμοῦ εἰσιν, τὰ ξύλα σου τὰ ὀστέα τοῦ Μνεύεως, καί σου τὰ ἄνθη ἐστὶν ὁ ὀφθαλμὸς τοῦ Ὥρου, τὸ σὸν σπέρμα τοῦ Πανός ἐστι σπέρμα. ἐγὼ νίζω σε ῥητίνῃ ὡς καὶ τοὺς θεούς, καὶ ἐπὶ ὑγείᾳ ἐμαυτοῦ, καὶ συναγνίσθητι ἐπευχῇ καὶ δὸς ἡμῖν δύναμιν ὡς ὁ Ἄρης καὶ ἡ Ἀθηνᾶ. ἐγώ εἰμι Ἑρμῆς. λαμβάνω σε σὺν Ἀγαθῇ Τύχῃ καὶ Ἀγαθῷ Δαίμονι καὶ ἐν καλῇ ὥρᾳ καὶ ἐν καλῇ ἡμέρᾳ καὶ ἐπιτευκτικῇ πρὸς πάντα‘. ταῦτ’ εἰπὼν τὴν μὲν τρυγηθεῖσαν πόαν εἰς καθαρὸν ἑλίσσε〈ι〉 ὀθόνιον (τῆς δὲ ῥίζης 〈εἰσ〉 τὸν τόπον ἑπτὰ μὲν πυροῦ κόκκους, τοὺς δὲ ἴσους κριθῆς μέλιτι δεύσαντες ἐνέβαλον) καὶ τὴν ἀνασκαφεῖσαν γῆν ἐνχώσας ἀπαλλάσσεται.

4 (3000) Πρὸς δαιμονιαζομένους Πιβήχεως δόκιμο ν . λαβὼν ἔλαιον ὀμφακίζοντα μετὰ βοτάνης μαστιγίας καὶ λωτομήτρας ἕψει μετὰ σαμψούχου ἀχρωτίστου λέγων· ‘Ἰωηλ· ως σαρθιωμι· εμωρι· θεωχιψοϊθ· σιθεμεωχ· σωθη· ιωη· μιμιψωθιωωφ· φερσωθι αεηιουω ιωη· εω Χαρι Φθᾶ. ἔξελθε ἀπὸ τοῦ δεῖνος.‘ κοινόν. τὸ δὲ φυλακτήριον ἐπὶ λαμνίῳ κασσιτερίνῳ γράφε· ‘ϊαηω· Ἀβρaωθιωχ· Φθᾶ μεσενψινιαω· φεωχ· ιαηω· χαρσοκ,‘ καὶ περίαπτε τὸν πάσχοντα· παντὸς δαίμονος φρικτόν, ὃ φοβεῖται. στήσας ἄντικρυς ὅρκιζε. ἔστιν δὲ ὁ ὁρκισμὸς οὗτος· ‘ὁρκίζω σε κατὰ τοῦ θεοῦ τῶν Ἑβραίων Ἰησοῦ· ιαβα· ιαη· Ἀβραώθ· αϊα. Θώθ· ελε· ελω· αηω· εου· ιιιβαεχ· αβαρμας· ϊαβαραου· αβελβελ· λωνα· αβρα· μαροια· βρακιων, πυριφανῆ, ὁ ἐν μέσῃ ἀρούρης καὶ χιόνος καὶ ὁμίχλης· Ταννητις καταβάτω σου ὁ ἄγγελος, ὁ ἀπαραίτητος, καὶ εἰσκρινέτω τὸν περιπτάμενον δαίμονα τοῦ πλάσματος τούτου, ὃ ἔπλασεν ὁ θεὸς ἐν τῷ ἁγίῳ ἑαυτοῦ παραδείσῳ, ὅτι ἐπεύχομαι ἅγιον θεὸν ἐπὶ Ἄμμων ιψεντανχω (λόγος). ὁρκίζω σε, λαβρια Ἰακούθ· αβλαναθαναλβα· ακραμμ· (λόγος) Ἀώθ· ιαθαβαθρα· χαχθαβραθα· χαμυν χελ· αβρωωθ· ουαβρασιλωθ· ἀλληλοῦ· ϊελωσαϊ Ἰαήλ. ὁρκίζω σε τὸν ὀπτανθέντα τῷ Ὀσραὴλ ἐν στύλῳ φωτινῷ καὶ νεφέλῃ ἡμερινῇ καὶ ῥυσάμενον αὐτοῦ τὸν λαὸν ἐκ τοῦ Φαραὼ καὶ ἐπενέγκαντα ἐπὶ Φαραὼ τὴν δεκάπληγον διὰ τὸ παρακούειν αὐτόν. ὁρκίζω σε, πᾶν πνεῦμα δαιμόνιον, λαλῆσαι, ὁποῖον καὶ ἂν ῇς, ὅτι ὁρκίζω σε κατὰ τῆς σφραγῖδος, ἧς ἔθετο Σολομὼν ἐπὶ τὴν γλῶσσαν τοῦ Ἰηρεμίου, καὶ ἐλάλησεν. καὶ σὺ λάλησον, ὁποῖον ἐὰν ῇς, ἐπουράνιον ἢ ἀέριον, εἴτε ἐπίγειον εἴτε ὑπόγειον ἢ καταχθόνιον ἢ Ἐβουσαῖον ἢ Χερσαῖον ἢ Φαρισαῖον, λάλησον, ὁποῖον ἐὰν ῇς, ὅτι ὁρκίζω σε θεὸν φωσφόρον, ἀδάμαστον, τὰ ἐν καρδίᾳ πάσης ζωῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιστάμενον, τὸν χουοπλάστην τοῦ γένους τῶν ἀνθρώπων, τὸν ἐξαγαγόντα ἐξ ἀδήλων καὶ πυκνοῦντα τὰ νέφη καὶ ὑετίζοντα τὴν γῆν καὶ εὐλογοῦντα τοὺς καρποὺς αὐτῆς, ὃν εὐλογεῖ πᾶσα ἐνουράνιος δύναμις ἀγγέλων, ἀρχαγγέλων. ὁρκίζω σε μέγαν θεὸν Σαβαώθ, δι’ ὃν ὁ Ἰορδάνης ποταμὸς ἀνεχώρησεν εἰς τὰ ὀπίσω καὶ Ἐρυθρὰ θάλασσα, ἣν ὥδευσεν Ἰσραήλ, κατέστη ἀνόδευτος· ὅτι ὁρκίζω σε τὸν καταδείξαντα τὰς ἑκατὸν τεσσεράκοντα γλώσσας καὶ διαμερίσαντα τῷ ἰδίῳ προστάγματι.

ὁρκίζω σε τὸν τῶν αὐχενίων γιγάντων τοῖς πρηστῆρσι καταφλέξαντα, ὃν ὑμνεῖ ὁ οὐρανὸς τῶν οὐρανῶν, ὃν ὑμνοῦσι τὰ πτερυγώματα τοῦ χερουβίν. ὁρκίζω σε τὸν περιθέντα ὄρη τῇ θαλάσσῃ 〈ἢ〉 τεῖχος ἐξ ἄμμου, καὶ ἐπιτάξαντα αὐτῇ μὴ ὑπερβῆναι. καὶ ἐπήκουσεν ἡ ἄβυσσος· καὶ σὺ ἐπάκουσον, πᾶν πνεῦμα δαιμόνιον, ὅτι ὁρκίζω σε τὸν συνσείοντα τοὺς τέσσαρας ἀνέμους ἀπὸ τῶν ἱερῶν αἰώνων, οὐρανοειδῆ, θαλασσοειδῆ, νεφελοειδῆ, φωσφόρον, ἀδάμαστον. ὁρκίζω 〈σε〉 τὸν ἐν τῇ καθαρᾷ Ἱεροσολύμῳ, ᾧ τὸ ἄσβεστον πῦρ διὰ παντὸς αἰῶνος προσπαρακάεται, τῷ ὀνόματι αὐτοῦ τῷ ἁγίῳ· ιαεω βαφρενεμουν (λόγος), ὃν τρέμει γέννα πυρὸς καὶ φλόγες περιφλογίζουσι καὶ σίδηρος λακᾷ καὶ πᾶν ὄρος ἐκ θεμελίου φοβεῖται. ὁρκίζω σε, πᾶν πνεῦμα δαιμόνιον, τὸν ἐφορῶντα ἐπὶ γῆς καὶ ποιοῦντα ἔκτρομα τὰ θεμείλια αὐτῆς καὶ ποιήσαντα τὰ πάντα ἐξ ὧν οὐκ ὄντων εἰς τὸ εἶναι.‘ ὁρκίζω δέ σε, τὸν παραλαμβάνοντα τὸν ὁρκισμὸν τοῦτον, χοίριον μὴ φαγεῖν, καὶ ὑποταγήσεταί σοι πᾶν πνεῦμα καὶ δαιμόνιον, ὁποῖον ἐὰν ἦν. ὁρκίζων δὲ φύσα α′ ἀπὸ τῶν ἄκρων τῶν ποδῶν ἀφαίρων τὸ φύσημα ἕως τοῦ προσώπου, καὶ εἰς κριθήσεται. φύλασσε καθαρός· ὁ γὰρ λόγος ἐστὶν Ἑβραϊκὸς καὶ φυλασσόμενος παρὰ καθαροῖς ἀνδράσιν. Μαντία Κρονικὴ ζητουμένη, καλουμένη μυλάριον. λαβὼν ἁλὸς χοίνικας δύο ἄληθε τῷ χειρομυλίῳ λέγων τὸν λόγον πολλάκις, ἕως ὁ θεός σοι ὀφθῇ. πράσσε δὲ νυκτὸς ἐν τόπῳ, ὅπου χόρτος φύει. ἐὰν δὲ λέγων τ〈ιν〉ὸς ἀκούσῃς βάτην βαρείας καὶ σύγκρουσιν σιδήρου, ὁ θεὸς ἔρχεται ἁλύσεσι πεφρουρημένος, ἅρπην κρατῶν. σὺ δὲ μὴ πτοηθῇς, φυλασσόμενος τῷ φυλακτηρίῳ τῷ σοι δηλωθησομένῳ. ἴσθι δὲ σινδόνα καθαρὰν περιβεβλημένος Ἰσιακῷ σχήματι. ἐπίθυε δὲ τῷ θεῷ σφάγνον μετὰ αἰλούρου καρδίας καὶ κόπρου ἱππίας. ὁ δὲ λόγος ὁ λεγόμενος ἀλήθοντός σοῦ ἐστιν οὗτος. λόγος· ‘σὲ καλῶ τὸν μέγαν, ἅγιον, τὸν κτίσαντα τὴν σύμπασαν οἰκουμένην, ᾧ τὸ ἀνόμημα ἐγένετο ὑπὸ τοῦ ἰδίου τέκνου, ὃν ὁ Ἥλιος ἀδαμαντίνοις κατέδησε δεσμοῖς, ἵνα μὴ τὸ πᾶν συγχυθῇ, ἀρσενόθηλυ, βροντοκεραυνοπάτωρ, ὃς καὶ τῶν ὑπὸ γῆν κατέχεις, αϊε οι παιδαλις, φρενοτειχειδω: στυγαρδης: σανκλεον· γενεχρονα· κοιραψαϊ· κηριδευ· θαλαμνια· οχοτα· ανεδεϊ, ἐλθέ, δέσποτα, θεέ, καὶ λέγε μοι ἐν ἀνάγκῃ περὶ τοῦ δεῖνος πράγματος· ἐγὼ γάρ εἰμι ὁ ἀποσταθείς σοι, παιδολις· μαινολις· μαινολιευς.

‘ ταῦτά ἐστιν τὰ λεγόμενα τοῦ ἁλὸς ἀληθομένου. ἔστιν δὲ αὐτοῦ ὁ ἐπάναγκος λόγος· ‘κυδοβρις· κοδηρϊευς· ανκυριευς: ξαντομουλις.‘ ταῦτα λέγεις, ὅταν ἀπειλῶν εἰσέρχηται, ἵνα πραϋνθῇ καὶ εἴπῃ, περὶ ὧν ἐπερωτᾷς. τὸ δὲ φυλακτήριον τὸ ζητούμενον αὐτοῦ· εἰς χοιρίαν σπάθην γλῦφε Δία ἅρπην κρατοῦντα καὶ τὸ ὄνομα τοῦτο· ‘χθουμιλον.‘ ἤτω δὲ ἡ σπάθη ἀπὸ συὸς μέλανος, λεπροῦ, ἐκτομιαίου. ἀπόλυσις· ‘αναεα· οχετα· θαλαμνια· κηριδευ· κοιραψα· γενεχρονα· σανηλον· στυγαρδης· χλειδω· φραινολε· παιδολις· ιαει, ἄπελθε, δέσποτα κόσμου, προπατήρ, καὶ χώρησον εἰς τοὺς ἰδίους τόπους, ἵνα συντηρηθῇ τὸ πᾶν. ἵλεως ἡμῖν, κύριε.‘ Ἐπὰν δέ ποτε θέλῃς τόπον εὐπορεῖσθαι με γάλως, ὥστε θαυμάσαι τοὺς ἐπὶ τῷ τόπῳ ἢ τῷ ἱερῷ, ὅπου ὑπόκειται τὸ φυλακτήριον· ὅπο[υ] γὰρ ἐὰν τοῦτο τεθῇ, ἐὰν μὲν ἐν ἱερῷ, ἔσται τὸ ἱερὸν λαλητὸν καθ’ ὅλην τὴν οἰκουμένην, ἐὰν δὲ ἐν ἄλλῳ τόπῳ, μεγάλως πράξει—ἔστιν οὖν ἡ ποίησις αὐτοῦ αὕτη· λαβὼν κηρὸν Τυρρηνικὸν πλάσον ἀνδριάντα παλαιστῶν γ′. ἤτω δὲ τρικέφαλος· ἡ μέση κεφαλὴ ἤτω ἱέρακος πελαγίου, ἡ δὲ δεξιὰ κυνοκεφάλου, ἡ δὲ ἀριστερὰ ἴβεως. ἐχέτω δὲ ἐξηπλωμένα πτερὰ τέσσαρα, ἐκτεταμένα〈ς〉 τὰς δύο χεῖρας ἐπὶ τῷ στήθει, ἐν αἷς κρατείτω Κράτος. αὐτὸς δὲ ἔστω περιεσταλμένος ὡς Ὄσιρις. ἐχέτω δὲ ὁ μὲν ἱέραξ βασίλειον Ὥρου, ὁ δὲ κυνοκέφαλος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βασίλειον Ἑρμανούβιδος, ἡ δὲ ἶβις ἐχέτω βασίλειον Ἴσιδος. βάλε δὲ ἐν τῇ κοιλίᾳ αὐτοῦ καρδίαν μαγνητίνην, καὶ εἰς πιττάκιον ἱερατικὸν γράφε τὰ ὀνόματα ταῦτα καὶ ἔνθες αὐτοῦ εἰς τὴν κοιλίαν, καὶ ποιήσας αὐτῷ βάσιν σιδηρᾶν στῆσον αὐτὸν ἐπὶ τῆς βάσεως καὶ ἔνθες αὐτὸ εἰς ναϊσκάριον ἀρκεύθινον ἐν ἀνατολῇ τριταίας οὔσης τῆς θεοῦ, καὶ καθιδρύσας αὐτό, εἰς ὃν προαιρῇ τόπον, θύε αὐτῷ λευκομέτωπον ⟨ὄν⟩ ἄγριον καὶ ὁλοκαυστοῦ. σπένδε δὲ αὐτῷ γάλα βοὸς μελαίνης πρωτοτόκου καὶ πρωτοτρόφου καὶ συνευωχοῦ αὐτῷ ἐπᾴδων αὐτῷ δι’ ὅλης νυκτὸς τὰ ἐν τῷ πιττακίῳ ἐγγεγραμμένα ὀνόματα, τῷ ἐν τῇ κοιλίᾳ κατατιθεμένῳ.

στεφανοῦ δὲ τὸ ναϊσκάριον ἐλαΐνῳ, καὶ οὕτω ⟨εὐπορήσεισ⟩ διὰ βίου. τὸν δὲ λόγον πάλιν τὸν αὐτὸν πρωῒ ἐγερθείς, πρὶν ἀνοίξῃς, ἔπᾳδε. ἔστιν οὖν τὰ γραφόμενα ὀνόματα ταῦτα καὶ διωκόμενα· ‘βιχω μουρ σουμαρτα βιχωβι σουρφεω ακημορθωουθ χωβιβευ μουρηθ ανιμι νασσουναϊνθι ανιμοκεω μιμνουηρ νουναϊθ αρπαηρ ιηρι σανι ανιμι μιμνιμευ δός μοι πᾶσαν χάριν, πᾶσαν πρᾶξιν· μετ’ ἐσοῦ γάρ ἐστιν ὁ ἀγαθοφόρος ἄγγελος παρεστὼς τῇ Τύχῃ. διὸ δὸς πόρον, πρᾶξιν τούτῳ τῷ οἴκῳ· ναί, κυριεύων ἐλπίδος, πλουτοδότα Αἰών, ἱερὲ Ἀγαθὲ Δαίμων, τέλει πάσας χάριτας καὶ τὰς σὰς ἐνθέους φήμας.‘ εἶτα ἄνοιγε, καὶ θαυμάσεις τὴν ἀνυπέρβλητον ἱερὰν δύναμιν. Ὀνειροθαυπτάνη τρικαλαμαία. ἔστιν ἡ ἄρσις τῶν καλάμων πρὸ ἡλίου ἀνατολῆς· μετὰ δυσμὰς ἀνασπῶν τὸν πρῶτον βλέπων πρὸς ἀπηλιώτην λέγε τρίς· ‘μασκελλι μασκελλω φνουκενταβαω ὀρεοβαζάγρα, ῥηξίχθων, ἱπποχθων, πυριπηγανύξ· αεηϊουω λεπεταν αζαραχθαρω, αἴρω σε, ἵνα μοι ὀνειροθαυπτήσῃς.‘ καὶ τὸν δεύτερον ἀνασπῶν τῷ νότῳ πάλιν λέγε τὸν ‘μασκελλι‘ λόγον καὶ τὰ φωνάεντα καὶ ‘θρωβεια‘, καὶ κρατῶν τὸν κάλαμον περιστρέφου· πρὸς τὸν βορρᾶ καὶ τὸν λίβα βλέπων τρὶς τὰ αὐτὰ ὀνόματα λέγε, τὰ τοῦ δευτέρου καλάμου. καὶ τὸν τρίτον ἀνασπῶν λέγε τὰ αὐτὰ ὀνόματα καὶ ταῦτα· ‘ιη ιη, αἴρω σε ἐπὶ ποιὰν πρᾶξιν.‘ ἔστιν δὲ καὶ τὰ γραφόμενα ἐπὶ τοῖς καλάμοις. ἐπὶ μὲν τοῦ πρώτου· ‘αζαραχθαρω,‘ ἐπὶ δὲ τοῦ δευτέρου· ‘θρωβεια,‘ ἐπὶ δὲ τοῦ τρίτου· ‘ιη ιη.‘ εἶτα λαβὼν λύχνον ἀμίλτωτον γέμισον ἐλαίῳ καθαρῷ, καὶ λαβὼν ῥάκος καθαρὸν κατάγραφε τὰ ὀνόματα ὅλα. τὰ αὐτὰ ἐπίλεγε πρὸς τὸν λύχνον ἑπτάκις. ἤτω δὲ ὁ λύχνος τῇ ἀνατολῇ βλέπων, παρακείσθω δὲ θυμιατήριον, ἐν ᾧ ἐπιθύσεις λίβανον ἄτμητον, καὶ ποιήσας τοὺς καλάμους, δήσας αὐτοὺς ἐφ’ ἓν νεύροις φοίνικος, ποιή[σας] αὐτοὺς εἰς τύπον τρίποδος, ἐπίθες τὸν λύχνον. ἐστέφθω δὲ ἡ κεφαλὴ τοῦ πράττοντος ἐλαΐνοις. σκευὴ μέλανος, ἐν ᾧ δεῖ γράφειν τοὺς καλάμους καὶ τὸ ἐλλύχνιον· ἀρτεμισία μονόκλωνος, κατανάγκη, ὀστᾶ φοινίκων Νικολάων γʹ, Καρικαὶ ἰσχάδες γʹ, αἰθάλη χρυσοχοϊκή, θαλλοὶ φοίνικος ἀρσενικοῦ γʹ, ἀφρὸς θαλάσσης.

ἔστιν δὲ καὶ τὰ γραφόμενα καὶ διωκόμενα ταῦτα· ‘ὁρκίζω σὲ τὸν ὑπ⟨ν⟩αφέτην, ὅτι ἐγώ σε θέλω εἰσπορευθῆναι εἰς ἐμὲ καὶ δεῖξαί μοι περὶ τοῦ δεῖνος πράγματος, ιερωρϊεθεδιεν θρου· χαωρα· αρπεβω· ενδαληλα.‘ Ἀφροδίτης φι⟨α⟩λομαντεῖο ν . ἁγνεύσας ἡμέρας ζʹ καὶ λαβὼν φιάλην λευκὴν πλῆσον ὕδατος καὶ ἐλαίου, πρότερον γράψας εἰς τὸν πυθμένα ζμυρνομέλανι· ‘ηιοχ χιφα· ελαμψηρ ζηλ αεηϊουω‘ (γράμματα κε ), ὑπὸ τὸν πυθμένα δὲ ἔξωθεν· ‘Ταχιήλ, χθονίη, δραξω‘ (γράμματα ιη ), καὶ κήρωσον λευκῷ κηρῷ. εἰς δὲ τὸν κύκλον ἔξωθεν τὸν ἄνω· ‘ϊερμι, φιλω ς ερικωμα δερκ[ω] μαλωκ γαυλη Ἀφριὴλ ἐρωτῶ.‘ λέγε γʹ. κείσθω δὲ ἐπὶ τοῦ ἐδάφους καὶ ἀτενίζων λέ[γε]· ‘ἐπικαλοῦμαί σε, τὴν μητέρα καὶ δέσποιν[αν] νυμφῶν, Ιλαουχ οβριη λουχ τλορ, εἴσ⟨ελθε⟩, φῶς ἱερόν, καὶ δὸς ἀπόκρισιν δείξασα τὴν καλήν σου μορφήν.‘ εἶτα ἀτένιζε εἰς τὴν φιάλην. ἐπὰν ἴδῃς, ἄσπασαι καὶ λέγε· ‘χαῖρε, θεὰ μεγαλόδοξε Ιλαρα ουχ, καὶ εἴ μοι χρηματίζεις, ἔκτεινόν σου τὴν χεῖρα.‘ ἐπὰν ἐκτείνῃ, ἀξιοῦ πρὸς τὰ ἐπερωτήματα. ἐπὰν δὲ μὴ ἐπακούσῃ, λέγε· ‘ἐπικαλοῦμαι τὴν Ιλαουχ, Ἵμερον γεννήσασαν, Ὥρας ἀγαθάς τε ὑμᾶς Χάριτας, ἐπικαλοῦμαι καὶ τὴν τῶν ἁπάντων διογενῆ Φύσιν, δίμορφον, ἀμερείην, εὐθείην, ἀφρωραίαν Ἀφροδίτην, δεῖξαί μοι τὸ καλόν σου φῶς καὶ τὸ καλόν σου πρόσωπον τῆς κυρίας Ιλαουχ. ἐξορκίζω σε, πυριδώρα, ελγιναλ, καὶ μεγάλα ὀνόματα· οβριτυχ· κερδυνουχιληψιν νιου

ναυνιν ιουθου θριγξ· τατιουθ γερτιαθ· γεργερις· γεργεριη θειθι‘. ἀξιώσῃς καὶ 〈κατὰ〉 τῶν πα〈ν〉τεράτων ὀνομάτων· οισια ει ει αω ηυ ααω ϊωϊαϊαϊω σωθου βερβροϊ· ἀκτε〈ρο〉βόρε, γερι ιηουα· ‘ἆξον μοι φῶς καὶ τὸ καλόν σου πρόσωπον καὶ ἀληθῆ τὴν φι〈α〉λομαντεί[αν], πυριλαμ〈πῆ, ἀμ〉φιπυριφερῆ, ἑκηστασίχθων, ϊω ϊω φθαιη θουθοι φαεφι. ποίει.‘ ποίησις· καθαρεύσας, ὡς ἔμαθες, καὶ λαβὼν ποτήριον χάλκεον γράψον διὰ ζμυρνομέλανος τὴν προγεγραμμένην στήλην ἐπικαλουμένην Ἀφροδίτην καὶ χρῆσαι ἐλαίῳ ἀ[ν]απτικῷ καὶ ὕδατι ποταμίῳ καθαρῷ. θὲς δὲ τὸ ποτήριον ἐπὶ τὰ γόνατά σου καὶ ἐπίλεγε τὴν στήλην τὴν προκειμένην, καὶ φανήσεταί σοι ἡ θεὸς καὶ χρηματίζει, περὶ ὧν θέλεις.

4 (3250) [ Λ α ]βὼν [ πλιν θ ]ίον ὠμὸν χαλκῷ γραφείῳ χάραξον ὄν[ον] τρέχοντα καὶ ἐπὶ τοῦ μετώπου· ‘ϊαωϊω‘, ἐπὶ δὲ τοῦ τραχήλου ὡς κωδώνιον· ‘ηοηοη‘, ἐπὶ δὲ τοῦ νώτου· ‘λερθεμινω‘ καὶ ἐπὶ το[ῦ] [σ]τήθους· ‘[Σ]αβαώθ‘, ὑπὸ δὲ τοὺς πόδας· ‘Ἀβρασάξ.‘ [χρ]ῖσον αὐτὸ αἵματι Τυφῶνος καὶ χο〈ι〉ρίου καὶ χυλῷ κρομβύου. ἔστιν δὲ ὁ καταγραφόμενος λόγος τοῦ [πλιν]θίου οὗ[τος]· ‘Ἰωερβηθ, Ἰωπακερβηθ, Ἰωβολχοσηθ, [Ἰω]βο[λ]χ[ο]σηθ· Σαβαουμ κοκλοτομ· παταθναξ· [ὁ σ]είων Ἰωερβηθ ἀπομψ Ἰαωθ Ἰαβαωθ· σεισαω· πευκρη· σὺ εὐτυχής· τεσχω πατονακ· φενδεμιεφεορ· αβιρβολονχιθι ρωφθη· απερμα· παλελωψ, ὁ σείσας τὸν κόσμον, ἐπικαλοῦμαί σε, τὸν μέγαν Τ[υ]φῶνα Ιωερβηθ· Ιωπακερβηθ· Ἰωβολχοσηθ, ὅτι ἐγώ εἰμι ὁ δεῖνα· ἐπάκουσόν μου, ἐν ᾧ ἐπιτε[λ]ῶ πράγματι λερθεμινω· αρουζορον βαθου χηασμηφις· ὁ μέγας μέγας Τυφῶν λερθεμινω, συνεπίστησον τῇ πραγματείᾳ ταύτῃ, ᾗ ἐπιτελῶ, ὅτι σου λέγω καὶ γράφω τὸ μέγα καὶ ἔντιμον ὄνομα· αβεραμενθωου (λόγος).‘ ὑποκάτω τοῦ ὄνου· ‘δὸς αὐτῇ τὴν κίνησιν τῆς θαλάσσης, [π]αναγρυπνίαν τοῦ Μένδητος, καὶ δὸς αὐτῇ τὰς τιμωρίας.‘ Μαντεῖον Σαραπιακὸν [ἐπὶ] παιδός, ἐπὶ λύχνου καὶ φιάλης [κ]αὶ β[ά]θρου· ‘ἐπικαλοῦμαί σε, Ζεῦ, Ἥλιε, Μίθρα, Σάραπι, ἀνίκητε, Μελιοῦχε, Μελικέρτα, Μελιγενέτωρ, αβρααλ βαχαμβηχι· βαιβειζωθ· (ηβαι βεβ[ο]θ) σεριαβεβωθ αμελχιψιθιουθιπ[ο]θοϊο πνουτε νινθηρτηρου· ιύευ ἡόώ· αιηια· εηοια· ηεαι· ευηιε· ωωωωω· ευηω ιαωαι· βακαξιχυχ· βοσιψετηθ· φοβηβιβωθ· ὁ μέγας, μέγας Σάραπις σαμασφρηθ· (ἄλλως ἄνω) ο δαργαζας· ο δαρμαγας· ο δαφαρ· υακιαβωθ· εφια· ζελεαρθαρ· (ακραβαεωεφιαζαλε αρβαμενοθιηω σαμας φρητι) μεθομηως λαμαρμερα· οπτηβι· πτηβι· μαριανου· (ακραβαεω εφιαζηλε αρβαμενοθι ηω ναμισφρητι), ἀναφάνηθι καὶ δὸς ἐντροπὴν τῷ φανέντι πρὸ πυρὸς καὶ χιόνος Βαϊνχωωωχ· σὺ γὰρ εἶ ὁ καταδείξας φῶς καὶ χιόνα, φριξωποβρονταξαστράπτα, κυποδωκτε· πιντουχε ετωμ.

5 Θοούτ· θασιναηακ αρουρονγοα Παφθᾶ· ενωσαδε· Ιαη· Ιαω αι· αοιαω· 〈ε〉οηυ (ἐννεαγράμματον)· τὸ α′ ἀνεῳγμένῳ τῷ στόματι, κυματούμενον, τὸ ο′ ἐν συστροφῇ πρὸς πνευματικὴν ἀπειλήν, τὸ ιαω γῇ, ἀέρι, οὐρανῷ, τὸ ε′ κυνοκεφαλιστί, τὸ ο′ ὁμοίως, ὡς πρόκειται, τὸ η′ μεθ’ ἡδονῆς δασύνων, τὸ υ′ ποιμενικῶς, μακρόν. ἐὰν εἴπῃ, ὅτι ‘χρηματίζω‘, λέγε· ‘εἰσερχέσθω ὁ θρόνος τοῦ θεοῦ θρονουζατερα κυμα· κυμα· λυαγευ· αψιταδρυς· γη μολιανδρον· βονβλιλον· πευχρη· εἰσενεχθήτω ὁ θρόνος.‘ ἐὰν οὖν ὑπὸ δ′ ἀνδρῶν βαστάζηται, σὺ ἐρώτα· ‘τ[ί] ἐστεφανωμένοι εἰσὶ καὶ τί προάγει τοῦ θρόνου;‘ ἐὰν λέγῃ· ‘ἐλαία〈ι〉ς ἐστεφανωμένοι εἰσὶ καὶ θυμιατήριον προάγει‘, ἀληθε[ύει ὁ] παῖς. ἀπόλυσις· ‘χώρει, κύρ[ιε], εἰς τὸν ἴδιον κόσμον καὶ εἰς τοὺ[ς ἰ]δίους θρόνους, εἰς τὰς ἰδίας ἀψῖδα[ς], καὶ διατήρησόν με καὶ τὸν παῖδα τοῦτον ἀπημάντους, ἐν ὀνόματι τοῦ ὑψίστου θεοῦ, σαμας φρηθ.‘ ποίει σελήνης οὔσης ἐν στερεῷ ζῳδίῳ μετὰ ἀγαθοποιῶν ἢ ἐν ὁρίοις ἀγαθοῖς ὑπαρχούσης, μὴ πληθούσης. ἔστι γὰρ ἄμεινον, καὶ οὕτως ἡ μαντεία εὔτακτος ἀπεργάζεται.

5 (50) ἐν δὲ ἄλλοις ἀντιγράφοις ἐγέγραπτο ὅτι ‘πληθούσης‘. Αὔτοπτος λόγος · ‘εειμ· το· ειμ· αλαληπ· βαρβαριαθ· μενεβρειο· Αρβαθιαωθ· Ἰουήλ· Ἰαήλ, ουηνηιιε· μεσομμιας· ἐρχέσθω ὁ θεὸς ὁ χρηματίζω〈ν〉 μοι καὶ μὴ ἀπερχέσθω, ἄχρις ἂν ἀπολύσω αὐτόν. ουρναουρ· σουλ· ζασουλ· ουγοτ· νοουμβιαου· θαβρατ· βεριαου· αχθιρι· μαραϊ· ελφεων· ταβαωθ· κιρασινα· λαμψουρη·

Ἰαβοε· αβλαμαθαναλβα· ακραμμαχαμαρει.‘ ἐν ποτηρίῳ χαλκῷ ἐπὶ ἐλαίου. ἔνχρισον δὲ τὸν δεξιὸν ὀφθαλμὸν μεθ’ ὕδατος πλοίου νεναυαγηκότος καὶ τὸν εὐώνυμον στίμι Κοπτιτικὸν μετὰ τοῦ αὐτοῦ ὕδατος. ἐὰν δὲ μὴ εὕρῃς ὕδωρ ἀπὸ νεναυαγηκότος πλοίου, ἀπὸ πακτῶνος βεβαπτισμένου. Λαβὼν βοτάνην χελκβει καὶ βούγλωσσον ὕλισον καὶ τὰ ἐκπιάσματα καῦσον καὶ μεῖξον τῷ χυλῷ χρηστῶς καὶ γράψον εἰς τοῖχον χοω ἐν αὐτοῖς καὶ λαβὼν πανουργικὸν ξύλον γλύψον σφῦραν καὶ ἐν ταύτῃ κροῦε εἰς τὸ οὐ〈τάτιον〉 λέγων [τ]ὸν λόγον· ‘ἐξορκίζω σε κατὰ τῶν ἁγίων ὀνομάτων· παράδος τὸν κλέπτην τὸν ἄραντά τι, χαλχακ χαλκουμ χιαμ χαρχρουμ ζβαρ βηρι ζβαρκομ χρη καριωβ φαριβου, καὶ κατὰ τῶν φρικτῶν ὀνομάτων· α εε ηηη ιιιι οοооо υυυυυυ ωωωωωωω α ω ε ε υ υ η η η ι ι ι ι ι ι ι ι ι η η η η η η η η η η ε ε ε ε ε ε ε ε ε ε ε ε α α α α α α α α α α α α α α α ι α ω ω ι α ι ω α α η ω η ω α ω α η παράδος τὸν κλέπτην τὸν κλέψαντά τι. ὅσον κρούω τὸ οὐ〈τ〉άτιον σφύρῃ ταύτῃ, ὁ τοῦ κλέπτου ὀφθαλμὸς κρουέσθω καὶ φλεγμαινέσθω, ἄχρι οὗ αὐτὸν μηνύσῃ.‘ λέγων ταῦτα κροῦε τῇ σφύρῃ. Στήλη τοῦ Ἰέου τοῦ ζωγρ(άφου) εἰς τὴν ἐπιστολήν· ‘σὲ καλῶ τὸν ἀκέφαλον, τὸν κτίσαντα γῆν καὶ οὐρανόν, τὸν κτίσαντα νύκτα καὶ ἡμέραν, σὲ τὸν κτίσαντα φῶς καὶ σκότος.

σὺ εἶ Ὀσοροννωφρις, ὃν οὐδεὶς εἶδε πώποτε, σὺ εἶ Ἰαβας, σὺ εἶ Ἰαπως, σὺ διέκρινας τὸ δίκαιον καὶ τὸ ἄδικον, σὺ ἐποίησας θῆλυ καὶ ἄρρεν, σὺ ἔδειξας σπορὰν καὶ καρπούς, σὺ ἐποίησας τοὺς ἀνθρώπους ἀλληλοφιλεῖν καὶ ἀλληλομισεῖν. ἐγώ εἰμι Μοϋσῆς ὁ προφήτης σου, ᾧ παρέδωκας τὰ μυστήριά σου τὰ συντελούμενα Ἰστραήλ, σὺ ἔδειξας ὑγρὸν καὶ ξηρὸν καὶ πᾶσαν τροφήν· ἐπάκουσόν μου. ἐγώ εἰμι ἄγγελος τοῦ Φαπρω Ὀσοροννωφρις. τοῦτό ἐστιν σοῦ τὸ ὄνομα τὸ ἀληθινὸν τὸ παραδιδόμενον τοῖς προφήταις Ἰστραήλ· ἐπάκουσόν μου, Αρβ[α]θιαω ρειβετ . αθελεβερσηθ . α[ρα] βλαθα, α(λ)βευ· εβενφ(χ)ι· χιτασ(γ)οη· Ἰβ[αὼ-] θ Ἰάω· εἰσάκουσόν μου καὶ ἀπόστρεψο[ν] τὸ δαιμόνιον τοῦτο. ἐπικαλοῦμαί σε, τὸν ἐν τῷ κενῷ πνεύματι δεινὸν καὶ ἀόρατον θεόν· αρογογοροβραω· σοχου· μοδοριω· φαλαρχαω· ооо, ἅγιε Ἀκέφαλε, ἀπάλλαξον τὸν δεῖνα ἀπὸ τοῦ συνέχοντος αὐτὸν δαίμονος, ρουβριαω μαρι ωδαμ· βααβναβαωθ· ασς Ἀδωναί· αφνιαω· ιθωληθ· Ἀβρασάξ· αηοωϋ, ἰσχυρὲ Ἀκέφαλε, ἀπάλλαξον τὸν δεῖνα ἀπὸ τοῦ συνέχοντος αὐτὸν δαίμονος, μαβαρραϊω Ἰωὴλ κοθα αθορηβαλω· Ἀβραώθ· ἀπάλλαξον τὸν δεῖνα, Ἀώθ· Ἀβαώθ, βασυμ Ἰσάκ, Σαβαώθ, Ἰάω. οὗτός ἐστιν ὁ κύριος τῶν θεῶν, οὗτός ἐστιν ὁ κύριος τῆς οἰκουμένης, οὗτός ἐστιν, ὃν οἱ ἄνεμοι φοβοῦνται, οὗτός ἐστιν ὁ ποιήσας φωνῆ〈σ〉 προστάγματι ἑαυτοῦ πάντα. κύριε, βασιλεῦ, δυνάστα, βοηθέ· σῶσον ψυχὴν Ἰεου, πυρ ιου, πυρ Ἰαώτ ιαηω ιοου Ἀβρασάξ σαβριαμ οο υυ ευ οο υυ Ἀδωναῖε ηδε εδε, εὐάγγελος τοῦ θεοῦ ανλαλα λαϊ γαϊα απα διαχαννα χορυν. ἐγώ εἰμι ὁ ἀκέφαλος δαίμων ἐν τοῖς ποσὶν ἔχων τὴν ὅρασιν, ἰσχυρός, 〈ὁ ἔχων〉 τὸ πῦρ τὸ ἀθάνατον. ἐγώ εἰμι ἡ ἀλήθεια, ὁ μισῶν ἀδικήματα γίνεσθαι ἐν τῷ κόσμῳ. ἐγώ εἰμι ὁ ἀστράπτων καὶ βροντῶν.

ἐγώ εἰμι, οὗ ἐστιν ὁ ἱδρὼς ὄμβρος ἐπιπίπτων ἐπὶ τὴν γῆν, ἵνα ὀχεύῃ. ἐγώ εἰμι, οὗ τὸ στόμα καίεται δι’ ὅλου. ἐγώ εἰμι ὁ γεννῶν καὶ ἀπογεννῶν. ἐγώ εἰμι ἡ Χάρις τοῦ Αἰῶνος, ὄνομά μοι καρδία περιεζωσμένη ὄφιν. ἔξελθε καὶ ἀκολούθησον.‘ τελετὴ τῆς προκειμένης ποιήσεως· γράψας τὸ ὄνομα εἰς καινὸν χαρτάριον καὶ διατείνας ἀπὸ κροτάφου εἰς κρόταφον σεαυτοῦ ἐντύγχανε πρὸς βορέαν τοῖς ϛ′ ὀνόμασι λέγων· ‘ὑπόταξόν μοι πάντα τὰ δαιμόνια, ἵνα μοι ἦν ὑπήκοος πᾶς δαίμων οὐράνιος καὶ αἰθέριος καὶ ἐπίγειος καὶ ὑπόγειος καὶ χερσαῖο[ς] καὶ ἔνυδρος καὶ πᾶσα ἐπιπομπὴ καὶ μάστιξ ἡ θεοῦ.‘ καὶ ἔσται σοι τὰ δαιμόνια πάντα ὑπήκοα. ἔστιν δὲ τὸ ἀγαθὸν ζῴδιον· [Magical Character] Ἄλλως · ‘κλέπτην πιάσαι, Ἑρμῆν σὲ καλῶ, θεὸν ἀθάνατον, ὃς κατ’ Ὄλυμπον αὔλακα τέμνεις, βᾶρίν θ’ ἱερήν, φωσφόρ’ Ἰάω, ὁ μέγας αἰωνόβιος, φρικτὸς μὲν ἰδεῖν, φρικτὸς δὲ ἀκροᾶσθαι· παράδος φῶρ’, ὃν ζητῶ αβεραμενθω ουλερθε ξεναξ σονελυσωθνεμαρεβα.‘ οὗτος ὁ λόγος ἐπὶ τοῦ καθαρμοῦ λέγεται β′. λόγος τοῦ ἀρτοτύρου· ‘ἔρχου μοι λισσοιν ματερνα μαυερτη πρεπτεκτιουν ιντικιους ολοκοτους περικλυσαι, τὸ ἀπολόμενον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγάγῃς μοι καὶ τὸν κλέπτην ἐμφανῆ ποίησαι ἐν τῇ σήμερον ἡμέρᾳ. ἐπικαλοῦμαι δὲ Ἑρμῆν, κλεπτῶν εὑρετήν, καὶ Ἥλιον καὶ Ἡλίου κόρας, ἀθεμίστων πραγμάτων δύο φωταγωγούς, καὶ Θέμιν καὶ Ἐρινὺν καὶ Ἄμμωνα καὶ Παράμμωνα ἐπικρατῆσαι τὴν τοῦ φωρὸς κατάποσιν καὶ ἐμφανῆ θεῖναι ἐν τῇ σήμερον ἡμέρᾳ, ἐν τῇ ἄρτι ὥρᾳ.‘ ποίησις· ὁ αὐτὸς λόγος ἐπὶ τοῦ καθαρμοῦ. λαβὼν ἄγγος καλλάϊνον βάλε ὕδωρ καὶ ζμύρναν καὶ κυνοκεφάλιον βοτάνην καὶ ἐμβρέχων κλάδον δάφνης 〈ῥαῖνε〉 , ἕνα ἕκαστον ἀποκαθαίρων. λαβὼν τρίποδα ἐπίθες ἐπὶ βωμὸν γήϊνον, ἐπίθυε ζμύρναν καὶ λίβανον καὶ γλῶτταν βατράχου, καὶ λαβὼν σελίγνιον ἄναλον καὶ τυρὸν αἴγειον δίδου ἑκάστῳ σελιγνίου δραχμὰς η′, τυροῦ δραχμὰς η′ ἐπιλέγων τὸν ἑξῆς λόγον.

ἐπίγραφε δὲ τοῦτο τὸ ὄνομα καὶ ὑποκόλλησον τῷ τρίποδι· ‘δέσποτα Ἰάω, φωσφόρε, παράδος φῶρ’, ὃν ζητῶ‘. ἐὰν δέ τις αὐτῶν μὴ καταπίῃ τὸ δοθὲν αὐτῷ, αὐτός ἐστιν ὁ κλέψας. Ἑρμοῦ δακτύλιο ς . κανθάρου ποίησις· λαβὼν κάνθαρον γεγλυμμένον, ὡς ὑπογέγραπται, ἐπὶ παπυρίνης τραπέζης θὲς καὶ ὑπόθες ὑπὸ τὴν τράπεζαν σινδόνα καθαρὰν καὶ ἐλάϊνα ὑποστρώσας, καὶ εἰς τὸ μέσον [τ]ῆς τραπέζης μικρὸν θυμιατήριον, ἐπιθύσας ζμύρναν καὶ κοῖφι. ἔστω δέ σοι παρεσκευασμένον σκευάριον καλλάϊνον μικρόν, εἰς ὃ ἐνέστω μύρον κρίνινον ἢ ζμύρνινον ἢ κιναμώμινον, καὶ λαβὼν τὸν δακτύλιον θὲς εἰς τὸ μύρον προαγνεύσας ἀπὸ πάντων καὶ ἐπιθύσας τῷ θυμιατηρίῳ τὸ κοῖφι καὶ ζμύρναν ἔασον ἡμέρας γ′ καὶ λαβὼν ἀπόθου ἐν τόπῳ καθαρῷ. παρακείσθωσαν ἐπὶ τῆς τελετῆς ἄρτοι καθάρειοι καὶ ὅσα ἀκμάζει τῶν ὀπωρῶν. ποιήσας δὲ ἄλλην θυσίαν ἐπὶ ξύλων ἀμπελίνων περὶ τὴν θυσίαν ἔπαρον τὸν δακτύλιον ἀπὸ τοῦ μύρου καὶ περιτίθεσο. τὸ δὲ χρῖμα τὸ ἀπ’ αὐτοῦ χρίου κατὰ πρωῒ καὶ στὰς πρὸς ἀνατολὰς ἡλίου λέγε τὰ ὑπογεγραμμένα. γλύμμα κανθάρου· εἰς λίθον σμάραγδον πολυτελῆ γλύψον κάνθαρον καὶ τρήσας δίειρον χρυσῷ, εἰς δὲ τὸ ὑποκάτω τοῦ κανθάρου γλύψον Ἶσιν ἱερὰν καὶ τελέσας, ὡς προγέγραπται, χρῶ. ἡμέραι, ἐν αἷς δεῖ ποιεῖν ἀπὸ ἀνατολῆς· ζ′, θ′, ι′, ιβ , ιδ , ις , κα , κδ , κε . ταῖς δὲ ἄλλαις ἔπεχε. λόγος λεγόμενος πρὸς ἥλιον· ‘ἐγώ εἰμι Θωύθ, φαρμάκων καὶ γραμμάτων εὑρετὴς καὶ κτίστης· ἐλθέ μοι, ὁ ὑπὸ γῆν, ἔγειρέ μοι 〈σαυτόν〉 , ὁ μέγας δαίμων, ὁ Φνουν, ὁ χθόνιος (ἢ οἱ Νουν, ο 〈ἱ〉 χθόνιοι).

ἐγώ εἰμι Ἥρων ἔνδοξος, ᾠὸν ἴβεως, ᾠὸν ἱέρακος, ᾠὸν Φοίνικος ἀεροφοιτήτου, ἔχων ὑπὸ τὴν γλῶσσαν τὸ τέλμα τοῦ Ἐμ , τὴν δορὰν τοῦ Κεφ περιβέβλημαι. ἐὰν μὴ γνῶ τὰ ἐν ταῖς ψυχαῖς ἁπάντων, Αἰγυπτίων, Ἑλλήνων, Σύρων, Αἰθιόπων, παντός τε γένους καὶ παντὸς ἔθνους, ἐὰν μὴ γνῶ τὰ γεγονότα καὶ τὰ μέλλοντα ἔσεσθαι, ἐὰν μὴ γνῶ τὰς τέχνας αὐτῶν καὶ τὰ ἐπιτηδεύματα καὶ τὰς ἐργασίας καὶ τοὺς βίους καὶ τὰ ὀνόματα αὐτῶν καὶ πατέρων αὐτῶν καὶ μητέρων καὶ ἀδελφῶν καὶ φίλων καὶ τῶν τετελευτηκότων, κατασπείσω τὸ αἷμα τοῦ μέλανος κυνώπου εἰς καινὴν κύθραν ἀσινῆ καὶ ἐπιθήσω ἐπὶ καινὸν κυθρόποδα καὶ ὑποκαύσω ὀστᾶ Ἑσιηους καὶ κεκράξομαι ἐν τῷ Βουσῖρι ὅρμῳ τόνδε ἐν ποταμῷ μείναντα ἡμέρας γ′, νύκτας γ′, τὸν Ἑσιη, τὸν ἐνεχθέντα ἐν τῷ ῥεύματι τοῦ ποταμοῦ εἰς τὴν θάλασσαν, τὸν περιεχόμενον ὑπὸ τῶν τῆς θαλάσσης κυμάτων καὶ ὑπὸ τῆς τοῦ ἀέρος νεφέλης. ὑπὸ τῶν ἰχθύων σοῦ ἡ κοιλία κατέσθεται, καὶ τὸ σῶμα οὐ μὴ παύσω τοὺς ἰχθύας τοῖς στόμασι μασωμένους, οὐδὲ μὴν κλείσουσι οἱ ἰχθύες τὸ στόμα. ἀφελοῦμαι τὸν ἀπάτορα ἀπὸ τῆς μητρός, κατενεχθήσεται ὁ πόλος, καὶ τὰ δύο ὄρη ἓν ἔσται. ἐπαφήσω ἄνοιξιν ἐφ’ ὑμᾶς, καὶ ὃ θέλει, ποιήσει. οὐ μὴ ἐάσω θεὸν οὔτε θεὰν χρηματίζειν, ἕως ὅτε ἐγὼ, ὁ δεῖνα, διαγνῶ τὰ ἐν ταῖς ψυχαῖς ἁπάντων ἀνθρώπων, Αἰγυπτίων, Σύρων, Ἑλλήνων, Αἰθιόπων, παντὸς γένους καὶ ἔθνους, τῶν ἐπερωτώντων με καὶ κατ’ ὄψιν μοι ἐρχομένων καὶ λαλούντων καὶ σιωπώντων, ὅπως αὐτοῖς ἐξαγγείλω τὰ προγεγονότα αὐτοῖς καὶ ἐνεστῶτα καὶ τὰ μέλλοντα αὐτοῖς ἔσεσθαι, καὶ γνῶ τὰς τέχνας αὐτῶν καὶ τοὺς βίους καὶ τὰ ἐπιτηδεύματα καὶ τὰ ἔργα καὶ τὰ ὀνόματα αὐτῶν καὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τεθνεώτων καὶ πάντων, καὶ ἀναγνῶ ἐπιστολὴν ἐσφραγισμένην καὶ ἀπαγγείλω αὐτοῖς πάντα ἐξ ἀληθείας.

ʽ Λαβὼν χάρτην ἱερατικὸν ἢ μολυβοῦν πέταλον καὶ σιδηροῦν κρίκον θὲς ἐπὶ τὸν χάρτην τὸν κρίκον καὶ ἔσωθεν καὶ ἔξωθεν αἶρε τύπον τοῦ κρίκου τῷ καλάμῳ, εἶτα ζμύρνισον τὴν περιφέρειαν, εἶτα γράψον εἰς τὴν περιφέρειαν τοῦ κρίκου, εἰς τὸν χάρτην ἐπιγράφων, τὸ ὄνομα, τοὺς δὲ χαρακτῆρας ἔξωθεν, εἶτα ἔσωθεν, ὃ θέλεις μὴ γενέσθαι, καὶ ὅτι ʽκαταδεθήτω αὐτοῦ ἡ φρόνησις ἐπὶ τῷ μὴ ποιῆσαι τὸ δεῖνα πρᾶγμαʽ, εἶτα θεὶς τὸν κρίκον ἐπὶ τὴν αὐτοῦ περιφέρειαν, ἣν ἐποίησας, καὶ ἀνελόμενος τὰ ἔξω τῆς περιφερείας κατάραπτε τὸν κρίκον, ἕως κατακαλυφῇ. κεντῶν κατὰ τῶν χαρακτήρων τῷ καλάμῳ καὶ δεσμεύων λέγε· ʽκαταδεσμεύω τὸν δεῖνα πρὸς τὸ δεῖνα· μὴ λαλησάτω, μὴ ἀντισπ〈ασ〉άτω, μὴ ἀντειπάτω, μή μοι δύναιτο ἀντιβλέψαι ἢ ἀντιλαλῆσαι, ὑποτεταγμένος δέ μοι ἤτω, ἐφ’ ὅσον οὗτος ὁ κρίκος κέχωσται. καταδεσμεύω δὲ αὐτοῦ τὸν νοῦν καὶ τὰς φρένας, τὴν ἐνθύμησιν, τὰς πράξεις, ὅπως νωχελὴς ᾖ πρὸς πάντας ἀνθρώπους.ʽ ἐὰν δὲ γυναῖκα· ʽὅπως μὴ γαμήσῃ τὸν δεῖνα ἡ δεῖναʽ (κοινά). εἶτα ἀπενέγκας αὐτὸ εἰς ἀώρου μνῆμα ὄρυξον ἐπὶ δʹ δακτύλους καὶ ἔνθες καὶ λέγε· ʽνεκυδαίμων, ὅστι[ς] [ποτ’ οὖν] εἶ, παραδίδωμί σοι τὸν δεῖνα, ὅπως μὴ ποιήσῃ τὸ δεῖνα πρᾶγμα.ʽ εἶτα χώσας ἀπέρχου. κρεῖσσον δὲ ποιεῖς σελήνης μειουμένης· ἔστιν δὲ τὰ γραφόμενα εἰς τὸν κύκλον ταῦτα· ʽαροα μαθρα· Ἐρεσχιγάλχ· εδαντα· Ιαβου νη· ακη· Ἰάω· δαρυνκω· Μανιήλ, μὴ πραχθήτω τὸ δεῖνα πρᾶγμα, ἐφ’ ὅσον χρόνον κέχωσται ὁ κρίκος οὗτος.ʽ κατάδησον δεσμοῖς ποιήσας σπάρτα καὶ οὕτω κατάθου. ὁ δὲ κρίκος καὶ εἰς φρέαρ βάλλεται ἀχρημάτιστον ἢ παρὰ ἄωρον. μετὰ δὲ τοὺς χαρακτῆρας γράφε καὶ ταῦτα ὑποκάτω τοῦ κρίκου ὡς πλινθίον· ʽαρχοολ· Λαιλαμ· Σεμεσιλαμφ· αμμοφοριων· ιωαη· φθουθ· εω Φρῆ, ὁ μέγιστος δαίμων, Ἰάω, Σαβαώθ, Ἀρβαθιάω, Λαιλαμ, Ὀσορνωφρι, Ἐμ Φρῆ Φρῆ, Φθᾶ χρωιω Ἰάω βαβουρη θιμαμ εν Φρῆ ρενουσι Σαβαὼθ Βαρβαθιάω θαχρα ουχεεθ Εσορνωφριʽ, καὶ τὸν νθ ὅλον (ἄνω), ὃν καὶ ἔσω ποιεῖς.

[ἡ] δὲ αὐτὴ οἰκονομία γράφεται ἐπὶ μολυβοῦ πετάλου καὶ ἐνθεὶς τὸν κρίκον περιπτύξας γύψισον. μετὰ δὲ τὸ ὑποκάτω πλινθίον καὶ τὸ Ἰαεω (λόγος) καὶ ταῦτα· ʽβακαξιχυχ μενεβαϊχυχ Ἀβρασὰξ αω , κατάσχες τὸ δεῖνα πρᾶγμα.ʽ ὡς δὲ ἐν τῷ αὐθεντικῷ εὑρέθη τὰ ὀνόματα· ʽαρφοολ Λαιλαμ Σεμεσιλαμ Ἰαεω (λόγος) βακαξιχυχ Ἀβρασὰξ αω αρχωμιλακ μενεσιλαμ Ἰαεω ουω βακαξιχυχ Ἀβρασὰξ ωιι, κατάσχες τὸ δεῖνα πρᾶγμα.ʽ Λαβὼν φύλλα δάφνης ἐνκαρδίου κη καὶ γῆς παρθενικῆς καὶ ἀρτεμισίας σπέρματος, ἀλεύρου καὶ κυνοκεφαλίου τοῦ χόρτου (ἀκήκοα δὲ παρὰ Ἡρακλεοπολιτικοῦ τινος, ὅτι λαμβάνει ἀπὸ ἐλαίας ἀρτίβλαστα, τοῦ δένδρου κομισθέντος, τοῦ ὀνομαστοῦ, κη ), ὑπὸ παιδὸς ἀφθόρου βαστάζεται· συνλειοῦται τοῖς προκειμένοις καὶ ὑγρὸν ᾠοῦ ἴβεως εἰς ὅλον τὸ φύραμα καὶ πλάσμα Ἑρμοῦ χλαμυδηφόρου σελήνης οὔσης ἀνατολικῆς ἐν κριῷ ἢ λέοντι ἢ παρθένῳ ἢ τοξότῃ. κατεχέτω δὲ ὁ Ἑρμῆς κηρύκειον. καὶ γράψον τὸν λόγον εἰς χάρτην ἱερατικὸν καὶ εἰς φῦσαν χήνειαν (καθὼς πάλιν παρὰ τοῦ Ἡρακλεοπολιτικοῦ) καὶ ἔνθες εἰς τὸ ζῴδιον ἐνπνευματώσεως εἵνεκεν, καὶ ὅταν βούλῃ χρᾶσθαι, λαβὼν χάρτην γράψον τὸ〈ν〉 λόγον καὶ τὸ πρᾶγμα καὶ ἀποκειράμενος ἐκ τῆς κεφαλῆς σου τρίχα συνέλιξον τῷ χάρτῃ δήσας ἅμματι φοινικίνῳ καὶ ἔξωθεν αὐτοῦ κλάδον ἐλαίας καὶ θὲς πρὸς τοὺς πόδας τοῦ Ἑρμοῦ (οἱ δὲ λέγουσι· αὐτῷ ἐπίθες). κείσθω δὲ τὸ ζῴδιον ἐν ναῷ φιλυρίνῳ. ὅταν δὲ βούλῃ χρᾶσθαι, πρὸς κεφαλῆς σου τίθει τὸν ναὸν σὺν τῷ θεῷ καὶ δίωκε ἐπιθύω[ν] λίβανον ἐπὶ βωμοῦ καὶ γῆν ἀπ[ὸ] σιτοφόρου χωρίου καὶ βῶλον ἁλὸς ἀμμωνιακοῦ αʹ. κείσθω πρὸς κεφαλήν σου, καὶ κοιμῶ μετὰ τὸ εἰπεῖν μηδενὶ δοὺς ἀπόκρισιν. ʽʽΕρμῆ κοσμοκράτωρ, ἐνκάρδιε, κύκλε σελήνης, στρογγύλε καὶ τετράγωνε, λόγων ἀρχηγέτα γλώσσης, πειθοδικαιόσυνε, χλαμυδηφόρε, πτηνοπέδιλε, αἰθέριον δρόμον εἱλίσσων ὑπὸ τάρταρα γαίης, πνεύματος ἡνίοχε, Ἡλίου ὀφθαλμέ, μέγιστε, παμφώνου γλώττης ἀρχηγέτα, λαμπάσι τέρπων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς ὑπὸ τάρταρα γαίης τε βροτοὺς βίον ἐκτελέσαντας· μοιρῶν προγνώστης σὺ λέγῃ καὶ θεῖος Ὄνειρος, ἡμερινοὺς [καὶ] νυκτερινοὺς χρησμοὺς ἐπιπέμπων.

5 (400) ἰᾶσαι πάντα βροτῶν ἀλγήματα σαῖς θεραπείαις. δεῦρο, μάκαρ, Μνήμης τελεσίφρονος υἱὲ μέγιστε. σῇ μορφῇ ἱλαρός τε φάνηθι ἱλαρός τ’ ἐπίτειλον ἀνθρώπῳ ὁσίῳ μορφήν θ’ ἱλαρὰν ἐπίτειλον ἐμοί, τῷ δεῖνα, ὄφρα σε μαντοσύναις, ταῖς σαῖς ἀρεταῖσι, λάβοιμι. δέομαι, κύριε· ἵλεώς μοι γενοῦ καὶ ἀψευδῶς μοι φανεὶς χρημάτισον.‘ δίωκε καὶ πρὸς ἀνατολὰς ἡλίου καὶ σελήνης. στήλη ἐν τοῖς χάρτεσι γραφομένη τοῦ ζῳδίου· ‘Υεσεννιγαδων Ὀρθὼ Βαυβὼ νοη 〈ρε κ〉 οδηρε σοιρε σοιρε σανκανθαρα Ἐρεσχιγὰλ σανκιστη δωδεκακιστη ἀκρουροβόρε κοδηρε Σημέα κεντευ κοντευ κεντευ 〈κηρι〉 δευ δαρυγκω λυκυνξυντα [κ]αμπυχρη ϊρινωτον λουμανατα [ . ]ιον κομανδρον χρειβαχα νουβα 〈χ〉 α νουμιλλον ερουφι τετρουφι [λ]ιβινου νουμιλλον χανδαρα τον [φ]ερφερευ δρουηρ μαρουηρ ` .‘ γ′, εἶτα ὁ κοινὸς λόγος. ἐπάναγκος· ‘ουκρα νουκρα πετιρινοδε τμαισια, φοβερόμματε δρυσαλπιψ βλεμεννιθεν βανδυοδμα τριψαδα αριβα [ . ]τα κραταρνα.‘ εἶτα τὸ ἑκατογράμματον Ἑρμοῦ ὄνομα· [ ] Ἄλλη· ‘ϊουκραιωνιου‘ (πρὸς τὸν λύχνον λεγομένη·) ‘ωχμαρμαχω τοννουραϊ χρημιλλον δερκυων νια Ἰάω σουμψηφισον σουμψηνις σιασιας Ἰάω, ὁ σείσας τὴν οἰκουμένην, εἴσελθε καὶ χ[ρ]ημάτισον περὶ τοῦ δεῖνα πράγματος, θοις κοτοθ φθουφνουν νουεβουη.‘ Ἐ π ’ ἰασπαχάτου λίθου γλύψον Σάραπιν προκαθήμενον ἔχοντα βασίλειον σκῆπτρον Αἰγύπτιον καὶ ἐπὶ τοῦ σκήπτρου ἶβιν, ὄπισθε τοῦ λίθου τὸ ὄνομα, καὶ κατακλείσας ἔχε. ἐπὶ μὲν τῆς χρείας κράτει τῇ ἀριστερᾷ σου τὸν [δ]ακτύλιον, τῇ δὲ δεξιᾷ σου κλάδον ἐλαίας καὶ δάφνης κατασείων τῷ λύχνῳ, ἅμα λέγων τὸν λόγον ζ′ καὶ εἴρας αὐτὸν εἰς τὸν ἰδαῖον τῆς ἀριστερᾶς σου χειρὸς δάκτυλον ἔσω βλέποντα καὶ οὕτως κολλήσας τὸν λίθον τῷ ἀριστερῷ σου ὠτίῳ κοιμῶ ἀναπόκριτος ἀπεχόμενος.

5 (450) Ἄλλω ς . ‘ἐπικαλοῦμαί σε τὸν κτίσαντα γῆν καὶ ὀστᾶ καὶ πᾶσαν σάρκα καὶ πᾶν πνεῦμα καὶ τὸν στήσαντα τὴν θάλασσαν καὶ 〈πασ〉 σαλεύ[σαντα] τὸν οὐρανόν, ὁ χωρίσας τὸ φῶ[ς ἀ-] πὸ τοῦ σκότους, ὁ μέγας Νοῦς, ἔν[νο]μος τὸ πᾶν διοικῶν, αἰωνόφθα[λ]μος, δαίμων δαιμόνων, θεὸς θ[ε]ῶν, ὁ κύριος τῶν πνευμάτων, ὁ ἀπλάνητος Αἰὼν Ἰάω ουηι· εἰσάκουσόν μου τῆς φωνῆς. ἐπικαλοῦμαί σε, τὸν δυνάστην τῶν θεῶν, ὑψιβρεμέτα Ζεῦ, Ζεῦ τύραννε, Ἀδωναί, κύριε Ἰάω ουηε· ἐγώ εἰμι ὁ ἐπικαλούμενός σε Συριστὶ θεὸν μέγαν ζααλαηριφφου. καὶ σὺ μὴ παρακούσῃς τῆς φωνῆς.‘ (Ἑβραϊστί· ‘αβλαναθαναλβα αβρασιλωα‘.) ‘ἐγὼ γάρ εἰμι Σιλθαχωουχ Λαιλαμ βλασαλωθ Ἰάω ιεω νεβουθ σαβιοθ Ἀρβὼθ Ἀρβαθιάω, Ἰαὼθ Σαβαώθ, Πατουρη, Ζαγουρη, βαρουχ Ἀδωναΐ, Ἐλωαὶ Ἀβραάμ, βαρβαρυω ναυσιφ ὑψηλόφρονε, αἰωνόβιε, κόσμου τὸ διάδημα παντὸς κατέχων, σιεπη σακτιετη βιου βιου σφη σφη νουσι νουσι σιεθο σιεθο χθεθωνι ριγχ ωηα η ηωα αωη Ἰάω ασιαλ Σάραπι ολσω εθμουρησινι σεμ λαυ λου λουριγχ.‘ πέδας λύει, ἀμαυροῖ, ὀνειροπομπεῖ, χαριτήσιον. κοινά, ἐφ’ ὃ θέλεις. ‘Ἥλιε βερβελωχ χθωθωμι αχ σανδουμ εχνιν Ζαγουήλ, ἔχε με συνιστάμενον.

5a ‘ κοινά, καὶ τότε ἐγχρίου, καὶ αὐτοπτήσεις. .

6 .. 〈Γίνεται ἡ μὲν σ〉 ύστασις αὐτοῦ πρὸς Ἥλιον β′, ἡ δὲ κλῆσις αὐτὴ 〈λέγεται σελήνησ〉 πληθούσης. ἄμεινον δὲ ἐν τῇ ἀνατολῇ 〈τῇ τοῦ ἡλίου τὴν〉 σύστασιν ποιήσεις τῇ δ′ τῆς θεοῦ προσθέ〈σεως ἐξ οἴκου ἐπιπέ〉δου. λέγε οὖν πρὸς ἥλιον ἀνατέλλοντα 〈τὴν ὑποκειμένη〉ν εὐχήν· ‘ 〈δάφνη, μαντοσύνησ〉 ἱερὸν φυτὸν Ἀπόλλωνος, [—Φ]οῖβος στεφθείς τε κλάδοισι [—] κεφαλὴν κομόωσαν ἐθείραις [—σκῆπτρ]ον ἑαῖς παλάμαισι τινάσσων [—ἐν κορυφ]ῇσι πολυπτύχου, ὑψηλοῖο [—] ἑοῖς, θέσπιζε βροτοῖσιν [—]λόστονος αὐτὸς Ἀπόλλων [—]η παρθένε δ[ει]νή [—ἱε]μένῳ ἱεροῖσι π[εδί]λοις [—δάφνης θαλ]λὸν ἐμαῖς μετὰ [χε]ρσὶν ἔχοντι [—π]έμψον μάντευμ[ά τ]ε σεμνόν [—α]ι σαφηνέσι φοιβή[σα]σα [—]ν τε καὶ ὣς τετελε[σμ]ένον ἔσται, [—] ἵν’ ἔχω[ν] περὶ [παντὸς ἐτ]άζω [—δ]αμάσα[ν]δρα μ ....... ανδρα [—]φεσ[—] [—π]ανυπέρτατ’, ἐμοὶ ἐπ[άρηξον] . ω ......... . μα ϊεω επι Παιάν . ϊοευηϊη ...... η, πολυώνυμε, ϊοαυ[ . ακρακ]αναρβα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φοῖβε, [μ]αντοσύναισιν [ἐπί]ρροθε, Φοῖβε Ἀπόλλ[ον], [Λ]ητοΐδη ἑκάεργε, [θε]οπρόπε, δεῦρ’ ἄγε, δε[ῦρο], δεῦρ’ ἄγε, θεσπίζω[ν], μαντεύεο νυκτὸς ἐ[ν ὥ]ρῃ.‘ εἶτα λέγε μελετῶν [τοῦ]το· ‘εη· ϊε ϊε ηϊ ϊω[ .. ]ϊαωιη· ϊυη· ϊα ϊαω· ϊαω η.....ουω.‘ εἶτα πρὸς κατά[δυσ]ιν ἡλίου ἐξαιτοῦ πάλιν· ‘κλῦθί μευ, ἀργυρό[τοξ]ε, ὃς Χρύσην ἀμφιβέ[βηκ]ας Κίλλαν τε ζαθέην [Τε]νέδοιό τε ἶφι ἀνάσσεισ‘, χρυσοφαῆ, λαῖλ[α]ψ καὶ Πυθολέτα μεσεγκριφι, Λατῶε σιαωθ’ Σ[αβ]αώθ , Μελιοῦχε, τύραννε, πευχρη, νυκτε[ρόφ]οιτε σεσεγγενβαρφαραγης καὶ αρβεθ’, ωπολλορφε, φιλαίματε, Ἀρβαθιαω, ‘Σμινθεῦ, εἴ ποτ[έ τ]οι χαρίεντ’ ἐπὶ βωμὸν ἔρεψα, ἢ εἰ δή ποτέ τοι κ[ατ]ὰ πίονα μηρί’ ἔκηα ταύρων ἠδ’ α[ἰγ]ῶν, τόδε μοι κρήηνο[ν] ἐέλδωρ.‘ ὁμοίως καὶ πρὸς Σελήνην ἐστὶν αὐτοῦ σύστασις ἥδε· ‘δάφνη, μαντο[σ]ύνης ἱερὸν φυτὸν Ἀπόλλωνος, Δάφνη παρθε[νι]κή, Δάφνη, Φοίβοιο ἑταίρη, Σαβαώθ, ϊαωαωο ϊαγχωθιπυλα μουσιάρχα οτονυπον, δεῦρό μοι, ἔρχε[ο θ]ᾷσσον, ἔπειγέ μοι ἀείσασθαι ‘θεσμοὺς θεσπ[εσί]ους, νυκτὶ δ’ ἐνὶ δνοφερῇ‘ ρησαβααν· ααν ... ανα· ααναναααναναλααα· ααα· ααα.‘ ἔστι δέ το[ι] τῷ Δηλίῳ, τῷ Ν[ομί]ῳ, τῷ τῆς Λητοῦς κ[αὶ] Διός, χρησμῷ δεῖν π 〈ει〉 στικὰ διὰ νυκτὸ[ς ἀλη]θῆ διηγουμένῳ 〈διὰ〉 [μ]αντικῆς ὀνειράτων. [ Ὁμηρομαντεῖο ν·] [ααα ἀλλ’ ἕνεκ] οὐλο[μένης γαστρὸς κακὰ κήδε’ ἔχουσιν] (ο 344?) [ααβ οὔτ’ ε]ὐνὰς [βαλέειν οὔτε πρυμνήσια λῦσαι] (ι 137?) [ααγ ἄορι θεινομέ]νων, [ἐρυθαίνετο δ’] αἵμ[ατι ὕδωρ] (Φ 21) [ααδ ]υσον [ ]υμει[] [ααε ἔστη σκῆπτρον ἔχων· τὸ μὲν Ἥφαιστος] κάμ[ε τεύχων] (Β 101?) [αας] .

7,col1* (t) [11a] .... .... [αβα ἂψ ἐθέλω] ἀρέσα[ι δόμεναί τ’ ἀπερείσι’ ἄποιμνα] (Τ 138) [αββ ἐξ ἄρα δή τοι ἔπειτα θ]εοὶ φρ[ένας ὤλεσαν αὐτοί] (Η 360 Μ 234) [αβγ] .... [αβδ] ...... [αβε] κείσθω [ἐνὶ μεγάρῳ· σὺ δέ μοι χαίρων ἀφίκοιο] (ο 128?) [αβς] . ωκε τον [αγα] ...... φ αγβ [αγγ ἀλλ’ οὐ Ζεὺς ἄνδρεσ]σι νοήμα[τα] πά[ντα τελευτᾷ] (Σ 328?) [αγδ καί κε] τὸ βουλοίμην, κα[ί κεν πολὺ κέρδιον εἴη] (Γ 41 λ 358 υ 316) [αγε τῷ κέ τ]οι ἀγλαΐας γε δι[ασκεδάσειεν ἁπάσας] (ρ 244) [αγς ἦ καὶ ἐμ]οὶ τάδε πάντα [μέλει, γύναι· ἀλλὰ μάλ’ αἰνῶς] (Ζ 441) [αδα ....... ]ενω ς’ ἔτι θυμὸν ι ...... [αδβ ἔσθλ’ ἀγ]ορεύοντες, κ[α]κὰ [δὲ φρεσὶ βυσσοδόμευον] (ρ 66) [αδγ οὔτοι ἀ]πόβλητ’ ἐστὶ [θεῶν ἐρυκυδέα δῶρα] (Γ 65) αδδ ....... αιν ......... αδε [αδς ἔσται τα]ῦτα, Σκάμανδρε δ[ιοτρεφές], ὡς σὺ κελεύεις (Φ 223) [α]εα δ[υσμε]νέσσιν μὲν χάρμα, [κατηφείην] δέ σοι αὐτῷ; (Γ 51) [α]εβ το[ῦδ’] αὐτοῦ λυκάβαντος [ἐλεύσεται] ἐνθάδ’ Ὀδυσσεύ[ς] (τ 306) [α]εγ οὐ[δέν σο]ι γ’ ὄφελος, ἐπεὶ οὐκ [ἐγκείσεαι αὐ] τοῖς (Χ 513) [αεδ τῷ δέ κε] νικήσαντι γυνὴ [καὶ κτήμαθ’ ἕποιτο] (Γ 255) [αεε οὐκ ἀγαθ]ὸν πολυκοιρανίη· εἷ[ς κοίρανος ἔστω] (Β 204) [αες εἰδώλων] δὲ πλέον πρόθυρον, [πλείη δὲ καὶ αὐλή] (υ 355) [ασα ἠράμεθ]α μέγα κῦδος· ἐπέφ[νομεν Ἕκτορα δῖον] (Χ 393) [ασβ τίς κεν ἐ]μοὶ τόδε ἔργον [ὑποσχόμενος τελέσειεν] (Κ 303) [ασγ οὐδ’ εἴ μοι τ]όσα δοίη, ὅσ[α ψάμαθός τε κόνις τε] (Ι 385) [ασδ ]αὐτός τε [ασε] [ασς] ινη [βαα] [οὐ γάρ τις νήσων ἱππήλατος, οὔ]τ’ ἐυλ[είμων] (δ 607) [βαβ] [ὑμετέρων τὸ πρόσθεν ἀκούετ]ε παῖδες [ἐόντες] (δ 688?) [βαγ] ιν μ’ ἐρυς [βαδ] [βαε] [βας] [ἐχθρὰ δ]έ μοι τοῦ δῶρα, τ[ίω δέ μιν ἐν καρὸς αἴσῃ] (Ι 378) [ββα] [μοῦν]ον τηλύγετον πολ[λοῖσιν ἐπὶ κτεάτεσσιν] (π 19) [βββ] [ββγ] [ββδ] ... τους ..... [ββε ὣς οἱ μὲν περὶ κεῖνον ὁ]μίλεον [ἀγχίμολον δέ] (ω 19) ββς ψ[εύδεά τ’ ἀρτύνοντας, ὅθ]εν κέ τις [οὐδὲ ἴδοιτο] (λ366) βγα ἄλκι[μο]ς ἔσς’ ἵνα τις [σ]ε καὶ [ὀψιγόνων ἔυ εἴπῃ] (α302) βγβ στήλ[η κ]εκλ[ι]μενό[ς ἀνδροκμήτῳ] ἐπὶ [τύμ]βῳ (Λ 371) [β]γγ ἔρ[χεο· π]άρ τ οι ὁδός, ν[ῆες δέ τοι ἄγ]χι θαλάσσης (Ι 43) [βγ]δ ψ[ευστήσ]εις, οὐδ’ αὖτε [τέλος μύθῳ] ἐπιθήσεις (Τ 107) [βγε μήτηρ] δ’ αὖ δ’ ἑτέρω[θεν ὀδύρετο] δάκρυ χέουσα (Χ 79) [βγς οὐδ’ εἰ πε]ν τάετές γε κ[αὶ ἑξάετες παρα]μίμνων (γ 115) [βδα ὣς φάτο,] κ αὶ Παιήο[ν’ ἀνώγειν ἰήσα] σθαι (Ε 899) [βδβ ταῦτά τ]οι, ὦ δύστηνε, τ[ελευτήσω τε] καὶ ἔρξ[ω] (λ 80) [βδγ πῶς ἐ]θέλεις ἅλιον θ[εῖναι πόνον] ἠδ’ ἀτέ[λεστον] (Δ 26) [βδδ ὄ]ψιμ ον ὀψιτέλεστ[ον ὅου κλέος ο]ὔποτ’ ὀ[λεῖται] (Β 325) [βδε] πρίν κ εν ἀνιηθεὶς [σὴν πατρίδ]α γαῖαν [ἵκοιο] (γ 117) [βδς ἐ]λθεῖν, ὄφρ’ ἔνθεν θ[υμοφθόρα φάρμ]ακ’ ἐ[νείκῃ] (β 329) [βεα] ἆνερ, ἀπ’ αἰῶνο[ς νέος ὤλεο, κὰδ δέ με χήρην] (Ω 725) [βεβ] ἦε πᾶν δὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κρανέ[ω τε καὶ ὧς τετελεσμένον ἔσται] (Ι 310?) [βεγ] μή μ[οι ο]ἶνον ἄ[ειρε μελίφρονα, πότνια μήτηρ] (Ζ 264) [βεδ] ιθ [βεε] [β]ες μὴ παῖδ’ [ὀρφανικὸν θήῃς χήρην τε γυναῖκα] (Ζ 432) [βϛα ὕστ]ατα καὶ πύματα νῦν ἐ[νθάδε δειπν]ήσειαν (δ 685) [βϛβ οὐ χ]ρὴ παννύχιον εὕδει[ν βουληφόρον] ἄνδρα (Β 24) [βϛγ δαι]μόνι’, οὐ μὲν καλὰ χ[όλον τόνδ’ ἔνθεο] θυμῷ (Ζ 326) [βϛδ τίς] δ’ οἶδ’ εἴ κέ ποτέ σφι [βίας ἀποτίσεται] ἐλθών (γ 216) [βϛε ἄξομα]ι ἀμφοτέροις· ἀλό[χους καὶ κτήμα]τ’ ὀπάσσω (φ 214) [βϛϛ τόξου] πειρώμεσθα κα[ὶ ἐκτελέωμεν] ἄεθλον (φ 180) [γαα οὐ γάρ] τις νέμεσις φυγέ[ειν κακὸν οὐδ’ ἀ]νὰ νύκτα (Ξ 80) [γαβ πα]ντοίης ἀρετῆς μ[ιμν] ήσκεο· [νῦν σ]ε μάλα χρή (Χ 268) [γαγ χήρ]ην δ’ ἐν μεγάρ[οισι πάι] ς δέ τις [νήπ]ιος αὔτως (Χ 484 Ω 726) [γαδ ἀλλὰ] σὺ μὲν μή πως κ[αταδύσ] εο μῶ [λον Ἄρ]ηος (Σ 134) [γαε αἶψ]α γὰρ ἐν κακ[ότητι βροτ] οὶ κατα [γηράσκο]υσι (τ 360) [γαϛ .

7 ...... ] [γβα ......... ] [γββ οὐκ ἔσθ’ οὗτος ἀνὴρ διερὸς] βροτὸς οὐδὲ γένηται (ζ 201) [γβγ ναὶ δὴ ταῦτά γε, τέκνον, ἐτήτ]υμον· οὐ κακόν ἐστι (Σ 128) [γβδ οὔ οἱ νῦν ἔτι γ’ ἔστι πεφυγμέ]νον ἄμμι γενέσθαι (Χ 219) [γβε χαλκοῦ τε χρυσοῦ τ’ ἀπολύσ]ομεθ’, ἔστι γὰρ ἔνδον (Χ 50) [γβϛ π]ῖ [νέ τε, μηδ’ ἐρίδαινε μετ’ ἀ]νδράσι κουροτέροισιν (φ316) γγα π [ῇ φ]εύγε[ι]ς μετὰ νῶ[τα β]αλὼν κακὸς ὣς ἐν ὁμ[ί]λῳ (Θ 94) γγβ αἴ [ γὰρ ἐ]μοὶ τοιόσδε πόσις [κε]κλη[μέ]νος εἴη (ζ 244) γγγ οὐρ [α]νῷ ἐστήριξε κάρ[η καὶ ἐπὶ χθονὶ βαίνει] (Δ 443) γγδ ἀλλ’ οὐ Ζεὺς ἄνδρεσσι [νοήματα πάντα τελευτᾷ] (Σ 328) γ[γ]ε νε [ῦ]σε δέ οἱ λαὸν σόον ἔ[μμεναι οὐδ’ ἀπολέσθαι] (Θ 246) [γγ]ς μη [δ’ ὄ]φελες λίσσεσθε ἀμ[ύμονα Πηλεΐωνα] (Ι 698) [γ]δα ο [ἶ]νός σε τρώει μελι[ηδής, ὅς τε καὶ ἄλλους] (φ 293) [γ]δβ ἔ[ρξ]ον, ὅπῃ δή τοι νό[ος ἔπλετο μηδέ τ’ ἐρώει] (Χ 185) [γδγ] ἄμ φω γὰρ πέπρωται [ὁμοίην γαῖαν ἐρεῦσαι] (Σ 329) [γ]δδ βά[λ]λ’ οὕτως, αἴ κέν τι φό[ως Δαναοῖσι γένηαι] (Θ 282) [γ]δε ὡς οὐκ ἔσθ’, ὃς σῆς γε κ[ύνας κεφαλῆς ἀπαλάλκοι] (Χ 348) [γδ]ς οὐ μ έν με κτενέε[ις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμ]ι (Χ 13) [γ]εα ἐνθ άδε κ’ αὖθι μέν[ων σὺν ἐμοὶ τόδε δῶμα φυλά]σσοις (ε 208) [γ]εβ εἶκ ε γέρον προθύρο[υ, μὴ δὴ τάχα καὶ ποδὸς] ἕλκῃ (ς 10) [γ]εγ βέλ τερον, ὃς φεύγω[ν προφύγῃ κακὸν ἠὲ ἁ]λώῃ (Ξ 81) [γ]εδ μ [η]δέ τω ἐκφάσ[θαι μήτ’ ἀνδρῶν μήτε γυνα]ικῶν (ν 308) [γ]εε πυ [ρ]ῶν ἢ κριθῶ[ν τὰ δὲ δράγματα ταρφέα πίπτει] (Λ69) [γ]ες ὁπ ποῖόν κ’ εἴπῃ[σθα ἔπος, τοῖόν κ’ ἐπακούσα]ις (Υ 250) [γϛα] οὐκ εἴασχ’ Ἑλένη[ν δόμεναι ξανθῷ Μενελάῳ] (Λ 125) [γϛβ] ἦ τι μεταστρέψει[ς; στρεπταὶ μέν τε φρένες ἐσθ]λῶν (Ο 203) [γϛγ] αὐτὰρ ἔγωγε μὲ[ν οὔ ποτ’ ἀπίστεον. ἀλλ’ ἐ]νὶ θυ[μ]ῷ (ν 339) [γϛδ] Εὐρύμαχ’, οὐ[χ οὕτως ἔσται· νοέεις δὲ καὶ α]ὐτός (φ 257) [γϛε] ἆ δειλὲ ξεί[νων, ἔνι τοι φρένες οὐδ’ ἠ]βαιαί (φ 288) [γϛϛ] τῷ δ’ ἕ[τερον μὲν ἔδωκε πατήρ, ἕτερ]ον δ’ ἀνένευσε (Π 250) δαα ἀλλ’ εἰς οἶκον ἰοῦσ[α] τὰ σαυτῆς ἔργα κόμιζε (α 356) [δ]αβ τῷ νῦν μηδὲ σὺ [τ]αῦτα τεῇ εἴπῃσθα γυναικί (λ 224) [δ]αγ λάινον ἕσσο χ[ιτ]ῶνα κακῶν ἕνεχ’, ὅσσα ἔοργας (Γ 57) [δ]αδ ἠρῶ ἀθανάτοισ[ι γενειήσ]οντα ἰδέσθαι (ς 176) [δ]αε εὔχεο δ’ Ἀπόλ[λωνι λυκηγ]ενέϊ κλυτοτόξῳ (Δ 101) [δ]ας οὐδὲ λύκοι [τε καὶ ἄρν]ες [ὁμό]φρονα θυμὸν ἔχουσιν (Χ 263) [δβ]α ἀλλ’ ἦτοι μὲ[ν ταῦτα] ἐπεί[ξομ]εν ἀλλήλοισιν (Δ 62) [δββ ἐν] δ’ Ἔρις, ἐ[ν δὲ Κυδο]ιμὸς [ὁμίλεον, ἐ]ν δ’ ὀλοὴ Κήρ (Σ 535) [δβγ εσοθ ιωντο] [δβδ ἀλλ’ ὄρσευ πο]λεμόνδ’ [οἷος πάρος εὔχεαι εἶναι] (Δ 264?) [δβε] ουδε .

7 [148a] ἀρι .. ον οπ ς [δ]βς νηπύτιε, τί νυ [τόξον] ἔχεις ἀνεμώλιον αὔτως (Φ 474) [δ]γα καὶ γάρ τ’ ἠύκ[ομος] Νιόβη ἐμνήσατο σίτου (Ω 602) [δ]γβ χαλκόν τε χρυ[σόν τ]ε ἅλις ἐσθῆτά τε δόντες (ε 38) [δ]γγ οὕτοι ἔπειθ’ [ἁλίη] ὁδὸς ἔσσεται οὐδ’ ἀτέλεστος (β 273) γδ εἷς οἰωνὸς ἄρ[ιστος], ἀμύνασθαι περὶ πάτρης (Μ 243) δγε τήν τοι ἐγὼ [ῥέξ]ω χρυσὸν κέρασιν περιχεύας (Κ 294) δγς πᾶσι δέ κεν Τρ ώες [σι χάρι]ν καὶ κῦδος ἄροιο (Δ 95) δδα νῆα κατισχ έμεν [αι, ἐπεὶ] οὐκέτι πιστὰ γυνα 〈ι〉 ξίν (λ 456) δδβ οὐκ ἔστ’ οὐδὲ ἔ[οικε [τεὸν ἔ]πος ἀρνήσασθαι (Ξ 212) δδγ αἶψα μεταστρ[έψει [ε νόον] μετὰ σὸν καὶ ἐμὸν κῆρ (Ο 52) δ[δ]δ καί οἱ σημαίν ειν· [ὁ δὲ πείσετ]αι [εἰς] ἀγαθ[όν] περ (Λ 789) [δ]δε εὖχος ἐμοὶ δώς ειν, [ψυχὴν δ’ Ἄϊδι κλυτοπ]ώλῳ (Ε 654) δδς νῆα ἅλις χρυσοῦ κ[αὶ χαλκοῦ νηήσασθ]αι (Ι 137) δεα ἀλλὰ τὸ μὲν φάσ[θαι, τὸ δὲ καὶ κεκρυμμένον] εἶναι

(λ 443) δεβ Ζεὺς δ’ ἐπὶ γεινο[μένοισιν ἵει κακότητα β]αρεῖαν (Κ 71) δεγ οἰῷ πεπνῦσθα[ι, τοὶ δὲ σκιαὶ ἀίσσουσι]ν (κ 495) δεδ εἴξας ᾧ θυμῷ· [τῷ δ’ οὐκέτι δῶρα τέλε]σσαν (Ι 598) δεε χαίρω σεῦ, [Λαερτιάδη,] τὸν μῦθον [ἀ]κούσας (Τ 185) δες Ζεὺς δ’ ἀρετ[ὴν ἄνδρεσσιν] ὀφέλλει τε μ[ι]νύθει τε (Υ 242) δςα δεινὸς ἀνήρ· [τάχα κεν κα]ὶ ἀναίτιον α[ἰτ]ιόῳτο (Λ 654) [δςβ] πανσυδίῃ· ν[ῦν γάρ κεν ἕλοι]ς πόλιν ε[ὐρυ]άγυιαν (Β 66) δςγ τέτλαθι δή, [κραδίη, καὶ κύντερ]ον ἄλλο ποτ’ ἔτλης (υ 18) δςδ δαιμόνι’, ἀτρ[έμας ἧσο καὶ ἄλλων μ]ῦθον ἄκουε (Β 200) δςε μηνιθμὸν [μὲν ἀπορρῖψαι, φιλότη]τα δ’ ἑλέσθαι (Π 282) δςς ὡ[ς ἀγαθὸν καὶ παῖδα καταφθιμέ]νοιο λιπέσθαι (γ 196) εαα τῇ τότε δὴ κρήδε[μν]ον ὑπὸ στέρνοιο τανύσσαι (ε 346) εαβ οὐχ’ ὁσίη κταμ[ένο]ισιν ἐπ’ ἀνδράσιν εὐχετάασθαι (χ 412) εαγ νύκτα δι’ ἀμβ[ροσί]ην ὅτε θ’ εὕδουσιν βροτοὶ ἄλλοι (Ω 363) εαδ πῶς ἂν ἔπειθ’ [Ὀδυ]σσῆος ἐγὼ θείοιο λαθοίμην (α 65) εαε ἔλλαβε πορφ[ύρεος θάνατ]ος καὶ μοῖρα κραταιή (Ε 83) εας ὣς οὐκ αἰνότ[ερον καὶ κύ]ντερον ἄλλο γυναικός (λ 427) εβα μὴ ἴομεν Δα[να]οῖσι [μα]χησόμενοι περὶ νηῶν (Μ 216) εββ ἄνδρ’ ἐπαμ[ύνασ]θαι, ὅ[τε τι]ς πρότερος χαλεπήνῃ (π 72 φ 133 Ω 369) εβγ οὐδέ τί μιν παῖ[δες] ποτὶ γούνασι παμπάζουσιν (Ε 408) εβδ ἔνδον μὲν δ[ὴ ὅδ’] αὐτὸς ἐγώ· καὶ πολλὰ μογήσας (φ 207) εβε μηδ’ οὕτως [ἀγόρ]ευε· πάρος δ’ οὐκ ἔσσεται [ἄλλως] (Ε 218) [εβς μιμνέτω αὐτόθι τεἱό]ς περ ἐπει 〈γό〉 μενός πε[ρ Ἄρηος] (Τ 189) εγα μηδ’ [ἐπαγαλλόμε]νος πολέμῳ καὶ δηιοτῆτι (Π 91) εγβ μή ποτ[ε τῆς εὐνῆς] ἐπιβήμεναι ἠδὲ μιγῆναι (Ι 133) εγγ χείλεα μ[έν τ’ ἐδίην·] ὑπερῴην δ’ οὐκ ἐδίηνεν (Χ 495) εγδ θάρσει· [μή τοι ταῦτα] μετὰ φρεσὶ σῇσι μελόντων (Σ 463) εγε τοῦτον δ’ [οὐ δύναμαι] βαλέειν κύνα λυ[σσ]ητῆρα (Θ 299) εγς τέττα, σιωπ[ῇ ἧσο, ἐμ]ῷ δ’ ἐπιπείθεο μύ θῳ (Δ 412) εδα οὐκ ἀρετᾷ κ[ακὰ ἔργα·] κιχάνει τοι βραδὺς ὠκύ[ν] (θ 329) εδβ κλῄϊσσαν μεγά[ροιο θύρ]ας πυκινῶς ἀρ[αρ]υίας (φ 236) εδγ ἆ δεῖλ’, οὐδέ τι τ[οι θάν]ατος καταθύμιό[ς ἐ]στιν (Ρ 201) εδδ ἦλθ’ Ὀδυσσεὺς κ[αὶ οἶκο]ν ἱκάνεται ὀψέ π[ε]ρ ἐλθών (ψ 7) εδε ἔκ τε καὶ ὀψὲ τε[λεῖ, σύ]ν τε μεγάλῳ ἀπέ τ]ισεν (Δ 161) εδς ἐν δ’ ἔρις, ἐν δ’ [ἀλκή, ἐν δὲ] κρυόεσσα [ἰω]κή (Ε 740) εεα λοιμῷ δ’ οἰκτι[στον θανέειν καὶ πότμον] ἐπισπεῖν (μ 342) εεβ κείσομ’, ἐπεί κ[ε θάνω· νῦν δὲ κλέος ἐσθλὸ]ν ἀροίμην (Σ 121) εεγ ἀλλ’ ὄρσευ πολ[εμόνδ’, οἷος πάρος εὔχεαι] εἶναι (Δ 264) εεδ οὔ τί σε λωβε[ύω, τέκνον φίλον, οὐδ’ ἀπα]φίσκω (Ψ 26) εεε Ἀλκμήνης δ’ [ἀνέπαυσε τόκον, σχέθε δ’ εἰλει]θυΐης (Τ 119) εες ἀλλ’ ἴθι, ταῦτ[α δ’ ὄπισθεν ἀρεσσόμεθ’, εἴ τ]ι κακὸν νῦν (Δ 362) εςα πῇ μέματ[ον; τί σφῶιν ἐνὶ φρεσὶ μαίν]εται ἦτορ (Θ 413) εςβ μὴ δή τοι κεῖ[νός γε λί] ην ἐνθ [ύμιος ἔσ]τω (ν 421) εςγ ἀλλ’ οὔ πως ἅ[μα] πάντα θεοὶ δό [σαν ἀνθρ]ώποισιν (Δ 320) εςδ μὴ δ’ οὕτως [ἀγόρ]ευε· π άρος δ’ ο[ὐκ ἔσσετ]αι ἄλλως (Ε 218) εςε ὣς ἔφατ’, οὐ[δὲ Δι]ὸς πεῖ]θεν φ [ρένα τα]ῦτ’ ἀγορεύων (Μ 173) εςς ἀλλ’ Ὀδυσσεὺς ἀ[νένευ] ε· κ [αὶ ἔσχεθεν ἱ]έμενόν περ (φ 129) ϛαα πῶς ἐθέλεις [ἐπὶ νῆας Ἀχαιῶν ἐλ]θέμεν οἶος (Ω 203) ϛαβ νυμφίον [ἐν μεγάρῳ μίαν οἴην] παῖδα λιπόντα (η 65) ϛα[γ ἀχλὺν δ’ αὖ τοι ἀπ’ ὀφθαλμῶν ἕλον,] ἣ πρὶν ἐπῆεν (Ε 127) ϛαδ τόξου πειρώμεσθα καὶ ἐκτελέωμεν ἄεθλον (φ 180) ϛαε γινώσκω δ’ ὡς σφῶιν ἐελδομένοισιν ἱκάνω (φ 209) ϛας ἕσσω μὲν χλαῖνά τε χιτῶνά τε εἵματα καλά (π 79 ρ 550 φ 339) ϛβα ἁψαμένη βρόγχο[ν] αἰπὺν ἀφ’ ὑψηλοῖο μελάθρου (λ 278) ϛββ ἡμετέρης ἀρετῆς 〈μ〉 εμνημένος οἷα καὶ ἡμεῖς (θ 244) ϛβγ λαῖτμα μέγ’ ἐκ[πε]ρῶσιν, ἐπεί σφισι δῶκ’ ἐνοσίχθων (η 35) ϛβδ ἀλλὰ πρόσω φέρε [τόξ]α· τάχ’ οὐκ εὐ πᾶσι πιθήσεις (φ 369) ϛβε ἀλλ’ ὄρσευ πολεμ[όνδ]ε καὶ ἄλλους ὄρνυε λαούς (Τ 139) ϛβς οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα (Σ 117) ϛγα ἂψ ἐθέλω ἀρέσαι δόμεναί τ’ ἀπερείσι’ ἄποινα (Ι 120) ϛγβ ὀμνυέτω δέ τοι ὅρκον, ἐν Ἀργείοισιν ἀναστάς (Τ 175) ϛγγ ἐγγὺς ἀνήρ, οὐ δη[θὰ μ]ατεύσομεν, αἴ κ’ ἐθέλητε (Ξ 110) ϛγδ οὐδὲ μάλ’ ἐξαπί[νη]ς καί τις θεὸς αὐτὸς ἐνεί[και] (φ196) ϛγε ἦτοι ταῦτά γ’ ἑτοῖμ[α] τετεύχαται οὐδέ κεν ἄλλ[ως] (Ξ 53) ϛγς ἀλλ’ ἐφ[ομ]αρτεῖ[τε]· πλεόνων δέ τοι ἔργον [ἄμεινον] (Μ 412) ϛδα ἐξ ἄρα δή [τοι ἔπ]ειτα [θε]οὶ φρένας ὤλεσαν [αὐτοί] (Η 360 Μ 234) ϛδβ θάρσει, μηδέ τί τοι [θ]άνατος καταθύμιος ἔστω (Κ 383) ϛδγ ἐξ ὕπνου γο 〈ό〉 ωσα φίλους οἰκῆας ἐγείρῃ (Ε 413) ϛδδ ἀλλ’ ἴθι σιγῇ τοῖον, ἐγὼ δ’ ὁδὸν ἡγεμονεύσω (η 30) ϛδε οὔατ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκουέμεν ἔστι, νόος δ’ ἀπόλωλε καὶ αἰδώς (Ο 129) ϛδϛ γηράς· ἀλλ’ οὐχ’ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα (Ρ 197) ϛεα οἴκαδέ τ’ ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι (ε 220 θ 466) ϛεβ τὸν μὲν ἄκουρ[ον ἐ]όντα βάλ’ ἀργυρότοξος Ἀπόλλων (η 64) ϛεγ ἐλπωρή τοι ἔ[πει]τα φίλους δ’ ἰδέειν καὶ ἱκέσθαι (η 76) ϛεδ σφῶιν δ’, ὡς ἔ[σετ]αί περ, ἀ[λη]θείην καταλέξω (φ 212) ϛεε ὧδε γὰρ ἐξερέω, [τὸ δὲ καὶ τ]ετελεσμέν[ον] ἔσται (Α 212) ϛεϛ πέμψω δ’, ὅππῃ μ[ιν κρα]δίη θυμός τε κελεύει (π 81 φ 342) ϛϛα πλα 〈γ〉 κτέ; τάχ’ αὖ δὲ κύ[νες ταχ]έες κατέδονται (φ 363) ϛϛβ γνοίης χ’, οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται (υ 237 φ 202) ϛϛγ οὔ τί σε τῶδ’ ἄξεσθαι ὀΐομαι οὐδὲ ἔοικε (φ 322) ϛϛδ ἐνθάδ’ ὁμιλέομεν, ποτιδέγμενοι ἤματα πάντα (φ 156) ϛϛε κρυπτάδια φρονέοντα δικαζέμεν· οὐδέ νυ πώ μοι (Α 542) ϛϛϛ μὴ δή μοι φύξιν γε, Δόλων, ἐμβάλεο θυ〈μῷ〉 (Κ 447) τέλος ἔχει τῶν ἐπῶν Ὁμηρομαντείου ἐπ’ ἀγαθῷ.

Κόριας ἐν οἰκίᾳ μὴ εἶναι· χολὴν αἴγειαν μετὰ ὕδατος μεταμείξας σκόρπισον. Ψύλλους ἐν οἰκίᾳ μὴ εἶναι· ῥοδοδάφνην μετ’ ἅλμης βρέξας καὶ τρίψας ῥᾶνον. Ἡμερομαντίαι κ [ α ὶ ] ὧρα ι . α′ ἕωθεν ιγ′ δι’ ὅλης ἡμέρας κδ′ ἕωθεν β′ μεσημβρίας ιδ′ ἕωθεν κε′ μὴ χρῶ γ′ μὴ χρῶ ιε′ δι’ ὅλης ἡμέρας κϛ′ δείλης δ′ ἕωθεν ιϛ′ μὴ χρῶ κζ′ δι’ ὅλη[ς] ἡμέρας ε′ ἕωθεν ιζ′ μὴ χρῶ κη′ δι’ ὅλης ἡμέρας ϛ′ μὴ χρῶ ιη′ ἕωθεν καὶ 〈δείλησ〉 κθ′ δι’ ὅλης ἡμέρας ζ′ μεσημβρίας ιθ′ ἕωθεν λ′ δείλης η′ δι’ ὅλης ἡμέρας κ′ ἕωθεν θ′ μὴ χρῶ κα′ δείλης ι′ δι’ ὅλης ἡμέρας [κβ′] δείλης ια′ δείλης [κγ′] ἕωθεν ιβ′ δι’ [ὅλης ἡμέρας] Δημοκρίτου παίγνια · Τὰ χαλκᾶ χρυσᾶ ποιῆσαι φαίνεσθαι· θεῖον ἄπυρον μετὰ γῆς κρητηρίας μείξας ἔκμασσε. Ὠὸν ὅμοιον μήλων γενέσθαι· ζέσας τὸ ὠὸν χρεῖε κρόκῳ μείξας μετ’ οἴνου. Μάγειρον μὴ δύνασθαι τὴν πυρὰν ἀνάψαι· βοτάνην ἀεί[ζω]ον θὲς αὐτοῦ εἰς τὴν ἑστίαν. Φαγόντα σκόρδον μὴ ὄζειν· [ῥ]ίζας 〈σ〉 εύτλου ὀπτήσας φάγε. Γραῦν μήτε πολλὰ λαλεῖν μήτε πολλὰ πίνειν· πίτυν κόψας βάλε αὐτῆς εἰς τ[ὸ] κράμμα. Μονομάχας ἐζωγραφημένους μάχεσθαι· ὑποκάτω αὐτῶν κάπνισον λαγοῦ κεφαλήν. Ψυχρὰ τρώγοντα κατακαίεσθαι· σκίλλαν εἰς ὕδωρ χλιαρὸν βρέξας δὸς αὐτῷ νίψασ[θ]αι. λύσις ἐλαίῳ. Τοὺς [μεμ]ει[γμ]ένους μόγις ε[ὖ] ποι[εῖ]ν· κόμι μετὰ οἴνου καὶ [μέλιτο]ς δὸς εἰς τὴν ὄψιν μυρ[ίσα]σθαι. Πολλὰ πίνοντα καὶ μὴ μεθύειν· χοιραῖον πνεύμονα ὀπτήσας φάγε. Ὁδοιποροῦντα μὴ διψᾶν· ὠὸν 〈εἰσ〉 οἶνον ἀνακόψας ῥόφα. Πολλὰ βι[ν]εῖν δύνασθαι· στροβίλια πεντήκοντα μετὰ δύο κυά[θ]ων γλυκέος καὶ κόκκους πεπέρεως τρίψας πίε. Στ[ύ]ειν, ὅτε θέλεις· πέπερι μετὰ μέλιτος τρίψας χρῖέ σου τὸ πρᾶγμα. Χαριτήσιον καὶ νικητικόν · λαβὼν καλαβοῦτιν ἰχωροφαγόντα, ἐν τοῖς μνημείοις εὑρισκόμενον, ἄρας αὐτοῦ τὴν δεξιὰν χεῖραν ἐν καλάμῳ κόψας ἔασον αὐτὸν εἰς τὸν ἴδιον τόπον αὐτοῦ ἀπελθεῖν ζῶντα καὶ ἀσφαλίσας τὴν χεῖραν τοῦ ζῴου φόρει εἰς τὸ ὑποκάλυμμα τῶν ἱματίων σου. Φ [ ι λ ]τοκατάδεσμος αἰώνιος · χολῆς κάπρου, ἁλὸς ἀμμωνιακοῦ, μέλιτος Ἀττικοῦ ὁμοῦ τρῖψον καὶ χρῖσόν σου τὴν βάλανον. Πρὸς σκορπίου πληγήν · ἐν χάρτῃ καθαρῷ τοὺς χαρακτῆρας ἐπίγραψον, ἐπίθες ἐν τῷ τόπῳ, ἐν ᾧ ἡ πληγή, καὶ ἐπίδησον τὸν χάρτην, καὶ ἔσται ἄπονος πάραυτα. ἔστι δὲ οἱ χαρακτῆρες· [Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character] γίνονται χαρακτῆρες ια′. Πρὸς ῥεῦμα ὀφθαλμῶν · ἐπίγραφε εἰς χάρτην καὶ περίαπτε· ‘ρουραρβισαρουρββαριασφρην‘. Πρὸς ἡμικράνιον · λαβὼν ἔλαιον εἰς τὰς χεῖράς σου εἰπὲ λόγον· ‘ὁ Ζεὺς ἔσπειρεν λίθον ῥαγός· σχίζει τὴν γῆν.

οὐ σπείρει· οὐκ ἀναβαίνει.‘ Ἄλλο · εἰς δέρμα κόκκινον ἐπίγραψον τάδε· ‘Ἀβρασάξ [Magical Character] ‘ καὶ τὰ κοινά. ἐμπλάσας ἐπίθες τῷ κροτ[ά]φῳ. Πρὸς βῆκα · ἐπὶ δέρμα ὑαίνης ἐπίγραψον μέλανι· ‘θαψατε σθραιτω (ὡς εὗρον ἐν ἄλλῳ· ‘τε[υ]θραιω θραιτευ θραιτω θαβαρβαωρι ⊗ λικραλιρητα‘) [ἀπά]λλαξον 〈τὸν〉 δεῖνα ἀπὸ τῆς συνεχούσης αὐτὸν βηκός.‘ Ἄλλο · εἰς δέρμα ὑαίνης ἐπίγραψον τοὺς χαρακτῆρας· ΤΚΛ Γ υ [Magical Character] ⊗ ΑΚΨΑ ΤΘΥΤΕΘΡΩΙ, περίαψον εἰς τὸν τράχηλον καὶ ἄβροχον φορείτω. Πρὸς μασθῶν σκληρία 〈ν 〉 ·

λαβὼν βύσσινον ῥάκος ἐπίγραψον μέλανι· ⊗ ΕΡΤ ⊗ ΑΡ ⊗ [Magical Character][Magical Character] //. Πρὸς βουβῶνα · λαβὼν σπάρτον ἀπὸ 〈βα〉 λαντίου κατὰ ἅμμα [λ]έγε ἅπαξ· ‘Κάστωρ‘, δίς· ‘θαβ//‘. Πρὸς ῥιγοπυρέτιον · λαβὼν ἔλαιον εἰς τὰς χεῖράς σου λέγε ζʹ ‘Σαβαώθ‘, δὶς κοινά, καὶ ἄλειφε ἀπὸ τοῦ ἱεροοστέου μέχρι τῶν ποδῶν. Πρὸς καθημε [ρ ]ινό ν , νυκτερινόν · εἰς φύλλον ἐλαίας εἰς τὸ λευκὸν ἐπίγραψον , εἰς τὸ μέλαν ἐπίγραψον ☾ καὶ περίαπτε. Ἀφροδίτης στήλ η , πρὸς φιλίαν καὶ χάριν καὶ πρᾶξιν καὶ φίλους· λαβὼν πέταλον κασσιτερινὸν χ[ά]ραξον χαλκῷ γραφ[είῳ], κ[αὶ] φορουμένη καθαρῶς [ἔστω] Φυλακτήριον πρὸς ῥιγοπυρέτιον καθημερινόν· γράψον εἰς χάρτην καθαρὸν καὶ περίαψον· Ἰάω Σαβαὼθ Ἀδωναὶ ἀκραμμαχαμμαρει (καθυφαιρῶν) αω [Σαβαὼθ Ἀδωναὶ ἀκραμμαχαμμαρει] ω [Σαβαὼθ Ἀδωναὶ ἀκραμμαχαμμαρει] Ἀβρασάξ. Ὀνειραιτητὸν Βησᾶ ς . λαβὼν μίλτον 〈καὶ αἷμα〉 περιστερᾶς λευκῆς, ὅμοιον καὶ κορώνης καὶ γάλα συκαμίνου καὶ χυλὸν ἀρτεμισίας μονοκλώνου καὶ κιννάβαρι καὶ ὕδωρ ὄμβριμον καὶ πάντα λειώσας ἀπόθου καὶ ἐν αὐτῷ γράφε μ[ετ]ὰ μέλανος γραφικοῦ καὶ δίωκε τὸν λόγον ὀψὲ πρὸς τὸν λύχ[ν]ον καὶ λαβὼν μέλαν Ἰσιακὸν περίβαλε τὴν χεῖ[ρά]ν σου, καὶ σχεδόν σου ἐγρηγοροῦντος ἥξει ὁ θεὸς κ[α]ὶ λέξει σοι καὶ οὐκ ἀποχωρήσει, εἰ μὴ ἐξαλείψῃς τὴν χε[ῖρ]άν σου νάρδῳ ἢ ῥοδίνῳ καὶ ἐμμάξῃς τὴν ζωγραφίαν τῷ Ἰσιακῷ μέλανι. τὸ δὲ ῥάκος περίθου περὶ τὸν τράχηλον, ἵνα μή σε πλήξῃ. λόγος ὁ λεγόμενος ἐπὶ τὸν λύχνον· ‘Ἐπικαλοῦμαί σε τὸν ἀκέφαλον θεόν, τ[ὸ]ν ἐπὶ τοῖς ποσὶν ἔχοντα τὴν ὅρασιν· ὁ ἀστράπ 〈τ〉 ων, ὁ βροντάζων, σὺ εἶ, 〈οὗ〉 τὸ στόμα διὰ παντὸς προσχέεται, σὺ εἶ ὁ ἐπὶ τῆς Ἀνάγκης Αρβαθιαω, σὺ εἶ ὁ ἐπὶ σορῷ κατακείμενος καὶ πρὸς κεφαλῆς ἔχων ὑπαγκώνιον ῥητίνης καὶ ἀσφάλτου, ὃν λέγουσιν Ἀνούθ. ἁ[ν]άστα, δαίμων· οὐκ εἶ δαίμων, ἀλλὰ τὸ 〈αἷμα〉 τῶν βʹ ἱεράκων τῶν πρὸς κεφαλῆς τοῦ Οὐρανοῦ λαλούντων καὶ ἀγρυπνούντων. ἔγειρόν σου τὴν νυκτερινὴν μορφήν, ἐν ᾗ πάντα ἀναγορεύεις. ὁρκίζω σέ, δαίμων, κατὰ τῶν βʹ ὀνομάτων σου Ἀνούθ, Ἀνούθ: σὺ εἶ ὁ ἀκέφ[α]λος θεός, ὁ ἐν τοῖς ποσὶν ἔχων κεφαλὴν καὶ τὴν ὅρ[α]σιν, Βησᾶς ἀμβλυωπός. οὐκ ἀγνοοῦμεν· σὺ εἶ, οὗ τὸ στόμα [δ]ι[ὰ] π[αν]τὸς καίεται· ὁρκ[ίζω σὲ κατὰ] τῶν βʹ ὀνομάτων σου Ἀνούθ: Ἀνούθ: μ ....... ορα φησαρα η ... ἐλθέ, κύριε, χρημάτισόν μοι περ[ὶ] τοῦ δεῖνα πράγματος ἀψεύστως, ἀσκανδ[α]λίστως, ἤδη, ἤδη, ταχύ, ταχύ.‘ τὸ δὲ ζῴδιον γέγραπτα[ι] ἐν τῇ ἀρχῇ τῆς βίβλου. Ὀνειραιτητό ν , ὃ ἀεὶ κέχρηται. [245]

7 (250) λόγος ὁ λεγόμενος πρὸς τὸν καθημερινὸν λύχνον· ‘ναιενχρη, ναιεν[χρ]η, μήτηρ πυρὸς καὶ ὕδατος· σὺ εἶ ὁ προανατέλλων Ἀρχ[εντε]χθα· χρημάτισόν μοι περὶ τοῦ δεῖνα πράγματος. ἐὰν ναί, δεῖ[ξόν μ]οι φυτὸν καὶ ὕδωρ, εἰ δὲ μήγε, πῦρ καὶ σίδηρον, ἤδη [ἤδη, ταχὺ] ταχύ.‘ Ἄλλο πρὸς τὸν αὐτὸν λύχνον· ‘κύριε, ὑγίαινε, λύχνε, ὁ παρεμφαίνων τῷ Ὀσίριδι καὶ παρεμφαίνων τῷ Ὀσιρχεντεχθα καὶ τῷ κυρίῳ μου, τῷ ἀρχαγγέλῳ Μιχαήλ. εἰ συμφέρει μοι τοῦτο ποιῆσαι, δεῖξόν μοι φυτὸν καὶ ὕδωρ, εἰ δὲ μήγε, πῦρ καὶ σίδηρον, ἤδη, ἤδη, ταχὺ ταχύ.‘ Πρὸς μήτρας ἀναδρομήν · ‘ἐξορκίζω σε, μήτραν 〈κατὰ τοῦ〉 κατασταθέντος ἐπὶ τῆς ἀβύσσου πρὶν γενέσθαι οὐρανὸν ἢ γῆν ἢ θάλασσαν ἢ φῶς ἢ σκότος, τὸν κτίσαντα ἀγγέλους, ὧν πρῶτος Ἀμιχαμχου καὶ χουχαω χηρωει ουειαχω οδου προσειογγης, καὶ ἐπὶ χερουβὶν καθήμενον, βαστάζοντα τὸν θρόνον τὸν ἴδιον· ἀποκατασταθῆναι ἐν τῇ ἕδρᾳ μηδὲ κλιθῆναι εἰς τὸ δεξιὸν πλευρ[ῶ]ν μέρος μηδὲ εἰς τὸ ἀριστερὸν πλευρῶν μέρος μηδὲ ἀποδήξῃς εἰς τὴν καρδίαν ὡς κύων, ἀλλὰ στάθητι καὶ μένοις ἐν χώροις ἰδίοις, μηδὲν μεμαση[μ]ένη, ἔστε ἐξορκίζω σε τὸν ἀρχῇ ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτῇ. ἁλληλουια, ἀμήν.‘ γράφε ἐν λεπίδι κασσιτερίνῃ καὶ ἔνδυνε ἐν χρώμασι ζʹ. θωθ· αʹ, δʹ, ιβʹ, ιγʹ, κβʹ. Φαωφι· βʹ, δʹ, ιʹ, ιθʹ, κʹ. Ἀθυρ· ζʹ, ηʹ, θʹ, ιζʹ, ιηʹ, κγʹ, κζʹ. Χοιακ· εʹ, ςʹ, ιγʹ, ιεʹ, ιςʹ, κδʹ, κεʹ. Τυβι· γʹ, δʹ, ιβʹ, κδʹ, κςʹ. Μεχειρ· αʹ, βʹ, τʹ, ιδʹ, ιθʹ. Φαμενωθ· ζʹ, ηʹ, θʹ. Φαρμουθι· εʹ, ςʹ, ιδʹ, ιεʹ, κʹ. Παχων· γʹ, δʹ, ιβʹ, ιγʹ, καʹ, κςʹ, κηʹ. Παϋνι· αʹ, βʹ, ιʹ, ιαʹ, ιεʹ, κʹ. Ἐπειφ· ζʹ, ηʹ, θʹ, ιδʹ, ιηʹ, ιθʹ, κβʹ. Μεσ[ορ]η· [ιʹ, ιδʹ], κʹ, κγʹ, κδʹ, κεʹ. Κύκλος [σ ]ελήνης · σελήνη ἐν παρθέ[νῳ]· πανάλωτον πεποιημένον. ζυγῷ· νεκυομαντεία. σκορπίῳ· πανκακώσιμον· τοξότῃ·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς ἥλιον καὶ σελήνην ἐπίκλησιν ἤτοι ἐπιλαλήματα. αἰγοκέρῳ· ὅσα θέλεις, λέγεις ἐπὶ κάλλιστον. ὑδρηχόῳ· εἰς φίλτρον. ἰχθῦς· εἰς πρόγνωσιν. κριῷ· ἔμπυρον ἤτοι ἀγώγιμον. ταύρῳ· εἰς λύχνον ἐπιλάλημα. δίδυμοι· χαριτήσιον. καρκίνῳ· φυλακτήρια. λέων· κίρκα ἤτοι καταδέσματα. ‘Σαχμουοζοζο, ὁ βροντῶν, ὁ σείων τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ καταπεπωκὼς τὸν ὄφιν καὶ καθ’ ὥραν ἐξαίρων τὸν κύκλον τοῦ ἡλίου καὶ τὴν σελήνην ἐμπεριλα[μβά]νων Χωνσου οχχα ενσου ο βιβερονησος.

‘ γράφε εἰς τὴν εὐώνυμόν σου χεῖρα διὰ ζμυρνομέλανος ἀκόλουθα τοῦ ἴβεως. Ἀγώγιμον αὔθωρον · λαβὼν ὄστρακον θαλάσσιον γράφε τὰ ἅγια ὀνόματα διὰ αἵματος ὀνίου μελάνου. λόγος· ‘ἐξορκίζω σε, ὄστρακε, κατὰ τῆς πικρᾶς Ἀνάγκης (μασκελλι—λόγος) καὶ κατὰ 〈τῶν ἐπὶ〉 τῶν Τιμωριῶν τεταγμένων λακι λακιω λακιμου μουκιλα κιλαμου ιωρ μουωρ μουδρα μαξθα μουσαθα· ἄξον τὴν δεῖνα τῆς δεῖνα—κοινόν, ὅτι 〈θέλεισ〉—μὴ παραμείνατε, ἀλλ’ ἄξον αὐτὴν ουχ ουχ χαυνα μουχλιμαλχα μαντωρ μουρκανα μουλιθα· μαλθαλι μουι ηιηι υυυ αη αιη υοω αηι αηι αηι αωα αωα αωα ιαω ωαι ωαι αιω ωια ιωα ια[ω] ωαι, ἄξον τὴν δεῖνα‘ (κοινά). σελήνης αὐξανομένης ἐν κριῷ ἢ ταύρῳ. ⟦ καὶ κοινά, ὅσα θέλεις. ⟧ [Φ ]υλακτήριον · ‘Ἰάω Σαβαώθ, Ἀδωνάι αβλα[ν]αθαναλβα [α]κραμμαχαμαρει 〈σ〉 εσενγεν βαρ[φαρανγης] πεφραζαωθ’ ζωθ [μενε] Βαινχωωωχ: φυλάξατε τὸν δεῖνα, ὃν δεῖνα, ἀπὸ πάσης ἐπηρείας ὀνείρου τε φρικτοῦ καὶ πάντων ἀερίων, διὰ τὸ μέγα, ἔνδοξον ὄνομα· Ἀβραὰμ εμεινα αεουβαωθ: βαιθω βεσια Ἰαβαώθ αγραμα κραμαρι ψινωθ: βερ ωων ἰασωπ β ... πνουτε‘ . ὄνομα [καὶ κοινά, ὅσα θέλεις]. Ἄλλο φυλακτήρ〈ι〉ο ν , πρὸς σελήνην· ‘Αχθιωφιφ Ἐρεσχιγάλ· νεβουγοσουαληθ: σαθωθ: Σαβαώθ, σαβρωθ‘. κοινά, ὅσα θέλεις. Αὔτοπτος · λαβὼν ἀγγεῖον χαλκοῦν 〈καὶ〉 βαλὼν εἰς αὐτὸ ὕδωρ ὄμβριμον ἐπίθυε λίβανον ἀρσενικόν. λόγος· ‘ἠρεμείτω γαῖα, καὶ ἀὴρ ἠρεμείτω, καὶ θάλασσα ἠρεμείτω· ἠρεμείτω〈σαν〉 καὶ οἱ ἄνεμοι, καὶ μή μου ἐμποδίζεσθε εἰς τὴν μαντείαν μου ταύτην, μὴ φωνή, μὴ ὀλολυγμός, μὴ συριγμός. ἐγὼ γάρ εἰμι προφήτης καὶ μέλλοντος φωνεῖν ⟦ ναὸν ἅγιον τὸν ἐπὶ τῆς ἱδρυμεν() ⟧ δεινὸν ὄνομα φοβερὸν ‘κολλα ολφιλογεμαλα αχερωιω‘, ἄνοιγε τὸν [ναὸν ἅγιον, τὸν ἐπὶ γῆς ἱδρυμένον] κόσμον, καὶ δέξαι τὸν Ὄσιριν, ὅτι ἐγώ εἰμι μανχνωβις χολχοβη μαλασητ’ ιατ’ θαννουιτα κερτωμενου πακερβαω κραμμασιρατ’ μομομο μελασουτ’ πευ Φρῆ· ἄνοιξόν μου τὰ ὦτα, ἵνα μοι χρηματίσῃς, περὶ ὧν σε ἀξιῶ, ἵνα ἀποκριθῇς μοι, ἄ[γ]ε, ἄγε, ἤδη ἤδη, ταχὺ ταχύ, καὶ λέγε, περὶ ὧν σε ἐξετάζω. φάνηθ[ί] μοι, κύριε Ἄνουβι, ἐπιτάσσω σοι· ἐγὼ γάρ εἰμι Ἰεω βελφενω, σκεπτόμεν〈ος περὶ τούτ〉ου τοῦ πράγματος.‘ ἀπόλυσις. λέγε· ‘χώρι[ζε, Ἄ]νουβι, ἐπὶ ὑγείᾳ καὶ σωτηρίᾳ μου εἰς τοὺς ἰδίους σου θρόνους.‘ ἁγνεύσας ἡμέρας γ′ χρῶ. Αὐτοπτική · ἐὰν βούλῃ σὲ αὐτὸν [ἰ]δεῖν, λαβὼν μυῖαν καὶ στίμιν Κ[ο]πτικὸν τρῖψον, ἔνχριε τοὺς ὀφθαλμούς σου. καὶ λαβὼν πτερὸν ἴβεως δακτύλων ιδ′, χρίσας ῥοδίνῳ μύρῳ ἢ κρινίνῳ, περιελίξας ὀθονίῳ βυσσίνῳ, ὡς βιβλίον ἔχε μετὰ χεῖρας. λέγε δέ, τῷ ἀριστερῷ ὀφθαλμῷ παρεμβλέπων, οὕτως. λόγος· ‘μουν ειποσις ηυ Φθα νουθι θιε σημι νουει νηιθι χρεχρεω σινινωρψ μουχ ορωου ενθερινι εωη μουνιαχ νεσωι μουνεσωχ μουνηι ενιμε χρεμου ρενενε σον σνηι ως μουχορωου. ενθερινι ανοκ’ Σῶς ερμαϊχω εντευμουτοιχνη χρεμου τη [Magical Character] βας πνητε κυφοχ’ εμμ ιεβοχνης τχηνη φιμου χνου νυοιχωωιμ [σ]εουνευμοι ινονρι:‘ Μαντεῖον ἐπὶ παιδός. κατακλίνας ἐπὶ τὸ ἔδαφος λέγε, καὶ φανήσεται αὐτῷ παιδίον μελάνχρουν. λόγος· ‘ἐπικαλοῦμαι ὑμᾶς, χάους καὶ ἐρέβους, βυθοῦ, γαίας οἰκήτορας, οὐρανοῦ, σκότους ἐπόπτας, ἀθεωρήτων δεσπότας, κρυφίμων φύλ[α]κας, χθονίων ἡγεμόνας, ἀπείρων διοικητάς, κραταιόχθονας, χασμαθυπουργούς, φρικτοπαλαίμονας, φοβοδιάκτορας, σκοτιοερέβους, ἀναγκεπόπτας, κρημνοκράτορας, ἀλγεσιθύμους, βαρυδαίμονας, σιδηροψύχους, βιθουραρα ασουημαρα [ .

]οτρουρ μουρρουρ αφλαυ μανδραρουρου σου μαραρου, χρηματίσατε, περὶ οὗ σκέπτομαι πράγματος.‘ κοινόν. Ὀνειραιτητόν · λαβὼν ῥάκος λινοῦν καθα[ρὸ]ν γράφε εἰς αὐτὸ τὸ ὑποκάτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄνομα καὶ ἑλίξας καὶ ποιήσας ἐλλύχνιον ἄναψον ἐπιβαλὼν ἔλαιον καθαρόν. λόγος ὁ γραφόμενος οὗτος· Ἁρμιουθ· Λαϊλαμ χωουχ Ἀρσενοφρῆ, Φρῆυ Φθᾶ Ἁρχεντεχθα. ἑσπέρας οὖν, ὁπόταν μέλλῃς κοιμᾶσθαι, καθαρὸς ἀπὸ παντός, τόδε ποίει· προσελθὼν τῷ λύχνῳ λέγε ζ′ τὸν ὑποκείμενον λόγον καὶ σβέσας αὐτὸν κοιμοῦ. λόγος λεγόμενος οὕτω 〈σ〉 · ‘σαχμου[ν]ε παημαλιγοτηρηηνχ· ὁ σείων, ὁ βροντῶν, ὁ καταπεπωκὼς τὸν ὄφιν καὶ τὴν σελήνην ἐμπεριλαμβά[ν]ων καὶ καθ’ ὥραν ἐξαιρῶν τὸν κύκλον τοῦ ἡλίου, ‘Χθεθω[ν]ι‘ ὄνομά σοι. ἀξιῶ ὑμᾶς, τοὺς κυρίους τῶν θεῶν, Σήθ: Χρηψ· χ[ρ]ηματίσατέ μοι, περὶ ὧν β[ούλο]μαι.‘ Πρὸς πᾶν θηρίον καὶ ἔνυδρον καὶ λῃστάς· ἐξάψας κράσπεδον τοῦ ἱματίου σου λέγε· ‘λωμα ζαθ Αἰὼν αχθασε μα[ . ]ζαλ Βαλαμαων ηιεου, φύλαξόν με, τὸν δεῖνα, ἐν [τ]ῇ ἄρτι ὥρᾳ, ἤδη ἤδη, ταχὺ ταχύ‘. Ἀγρυπνητικόν · 〈λαβὼν〉 ὄστρακον ἀπὸ θαλάσσης γράψον· ‘ιψαη ιαωα[ι] ἀγρυπνείτω μοι ἡ δεῖνα τῆς δεῖνα.‘ ἐκείνῃ τῇ νυκτὶ ἀγρυπνήσει. Ἄλλο · λυχνίον λαβὼν ἐλλυχνίασον καὶ πρὸς αὐτὸν λέγε· ‘ἐξορκίζω σέ, λύχνε, κατὰ τῆς μητρός σου, Ἑστίας Μηραλληλ (β′), καὶ κατὰ τοῦ πατρός σου, Ἡφαίστου Μελιβου Μελιβαυ Μελιβαυβα[υ· ἀγ]ρ[υπ]νείτω‘ καὶ κοινά. τὰ δὲ γράμματα εἰς τὸ ἐλλύχνιον [γράφε]· ‘ [Magical Character] χιιιι/ιι‘ καὶ οὐσιάσ[ας δίω]κε τὸν ἐπάνω λόγον. ποίει δὲ καὶ σιδήρου π[έταλ]ον. ὁ λόγος· ‘ψύγητι, σίδηρε, καὶ χιὼν γενοῦ· ἐγ[ὼ γάρ] εἰμι Μελιβου Μελιβαυ Μελιβαυβα[υ‘ καὶ κ]οινά. Ποτήριον καλό ν . ἐ[π]ὶ ποτηρίου λέγε ζ′· ‘Κανωπῖ[τι] προιη ρωδοχ[ . ]φ καλυψας ερεκιν ποθηξας ερατευν μορφυς Χάρις Φαφιετι Εἶσι ω Βούβαστι Ποθωπι, ἐξορκίζω ὑμᾶς, ἅγια ὀνόματα τῆς Κύπριδος, ὅπως, ἐὰν καταβᾶτε εἰς τὰ σπλάγχ 〈ν〉 α τῆς δεῖνα, 〈ἣν〉 ἡ δεῖνα, ποιῆσαι φιλεῖν.‘ κοινά. Νικητικὸν δρομέω ς . γράψον ἐπὶ τοὺς μεγάλους ὄνυχας αὐτοῦ γράφων χαλκῷ γραφείῳ τοὺς χαρακτῆρας τούτους· [Magical Character][Magical Character] , γράφε· ‘δός μοι ἐπιτυχίαν, ἐπαφρο 〈δι〉 σίαν, δόξαν, χάριν ἐν τῷ σταδίῳ.‘ καὶ τὰ κοινά, ὅσα θέλεις. Κατόχων ἐπαναγκαστικοί · ‘σφεδεμουρ· βιρβια· ηχι· ερωφθι· αταρμετρα· χηλωωψ.‘ κοινά. Φιμωτικὸν καὶ ὑποτακτικὸν γενναῖον καὶ κάτοχος. λαβὼν μόλιβον ἀπὸ ψυχροφόρου σωλῆνος ποίησον λάμναν καὶ ἐπίγραφε χαλκῷ γραφείῳ, ὡς ὑπόκειται, καὶ θὲς παρὰ ἄωρον· ‘ [Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character] ⊗ [Magical Character] Βαχυχ [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] αaλουγικι Ἐλωαί, Βαινχωωωχ· [Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character] Χ [Magical Character] Ι [Magical Character] εὐλαμω φνουβενε ειζοχορ μοβορ φω χορβα ζαχει αναχια [Magical Character] Κ [Magical Character][Magical Character][Magical Character][Magical Character] Β Φωρφορβα Φωρβορβα Σεμεσιλάμ, Ἁρχεντεχθα Ἀσχελιδονήλ· κατάσχε‘.

7 κοινά, ὡς ἂν βούλῃ. Φίλτρο ν . ἐπὶ φιλίας καταφιλῶν λέγε· ‘ανοκ’ θα [Idiosyncratic Papyrological Character] ι·ν επιβαθα χεουχ· χα ανοκ ανοχ’ χαριεμουθ· Λ[αϊ]λαμ.‘ κοινά. Ἐάν τινι ἐθέλῃς [ἐ ]μφανῆναι διὰ νυκτὸς ἐν ὀνείροις, λέγε πρὸς τὸν λύχνον τὸν καθημερινόν, λέγε πολλάκις· ‘χειαμωψει: ερπεβωθ: ἰδέτω με ἡ δεῖνα, ἣν ἡ δεῖνα, ἐν τοῖς ὕπνοις, ἤδη ἤδη, ταχὺ ταχύ.‘ καὶ κοινά, ὅς’ ἂν βούλῃ. Νυκτολάλημ α . λαβὼν κοκκοφαδίου τὴν καρδίαν ⟦ καὶ ⟧ βάλε εἰς ζμύρναν καὶ γράφε εἰς πιττάκιον ἱερατικὸν τὰ ὀνόματα καὶ τοὺς χαρακτῆρας καὶ ἕλιξον τὴν καρδίαν εἰς τὸ πιττάκιον καὶ ἐπίθες ἐπὶ τὴν ψυχὴν αὐτῆς καὶ ἐπερώτα· καὶ πάντα σοι ἐξομολογήσει· ‘δαρυγκω· ιαυ· ιαυ· ⊗⊗ [Magical Character] ΧΨΒ ΛΘΛΘΛΔ ƛƛ ΒΖ ƛ ΤΙΖΒ‘. κοινά, ὅς’ ἂν βούλῃ. Κάτοχο ς . γράφε εἰς πέταλον κασσιτέρινον χαλκῷ γραφείῳ πρὶν ἡλίου ἀνατολῆς τὰ ὀνόματα· ‘χρημ[ι]λλον’ Μουλοχ· καμπυ· χρη ωφθω· Μασκελλι —λόγος, Ἐ[ρη]κισιφθη/ Ἰαβεζεβυθ.‘ ἔπειτα βάλε εἰς ποταμόν, εἰς θάλασσαν πρὶν ἡλίου ἀνατολῆς. συνεπίγραφε καὶ τούτους τοὺς χαρακτῆρας· ‘ ⊗ [Magical Character][Magical Character] [Magical Character]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Magical Character] Ε θεοὶ κραταιοί, κατέχετε‘. κοινά, ὅς’ ἂν θέλεις. Κυβεύοντα νικᾶν · ‘Θερθενιθωρ· δυαγωθερε· θερθενιθωρ· συαποθερευο· κωδοχωρ, ποίησόν με κυβεύοντα νικῆσαι, κρατῶν Ἀδριήλ.‘ ἐν τῇ χειρὶ λέγε· ‘μηδ’ εἷς 〈ἴσ〉 ος ἤτω ἐμοί· ἐγὼ γάρ εἰμι Θερθενιθωρ· ηρωθωρθιν· δολοθορ, καὶ βάλλω, ὃ θέλω.‘ καὶ συνεχέστερον λέγε, καὶ βάλλεις. ἄλλως δὲ δεῖ σὲ λέγειν· ‘μηδ’ εἷς ὧδε τῶν παιζόντων μετ’ ἐμοῦ ἴσος ἤτω, καὶ βάλλω, ὅσα θέλω.‘ Κάτοχ [ ος παντ]ὸς πράγματος καὶ ἐπὶ ἁρμάτων ποιῶν. ἐστὶ δὲ καὶ διάκοπος καὶ κατακλιτ[ικ]ὸν καὶ κατακοπτικὸν καὶ ἀναιρετικὸν καὶ ἀναστρεφόμενον, πρὸς 〈ἃ〉 θέλεις. ὁ δὲ λόγος λεγόμενος ὁρκίζει δαίμονας καὶ εἰσκρίνει. πλάκαν ἐς μολιβῆν ἀπὸ ψυχροφόρου τόπου ἐνχάραξον, ὃ βούλει γενέσθαι, καὶ τελέσας ἐν ἀρώμασιν φαιοῖς οἷον ζμύρνᾳ, βδέλλῃ, στύρακι καὶ ἀλοῇ καὶ θύμῳ μετὰ ἰλῦος παρὰ ποταμοῦ, ὀψὲ ἢ μέσης νυκτός, ὅπου ῥοῦς ἐστιν ἢ παραρέον βαλανείου, δήσας αὐτὴν σπάρτῳ, βάλε φέρεσθαι εἰς τὸν ῥοῦν (ἢ εἰς θάλασσαν), ἵνα, ὅτε θέλεις, ἐκλύσῃς. ἐὰν δὲ θέλῃς ἀπολῦσαι, λῦσον τὸ πλάτυμ 〈μ〉 α, δίωκε τὸν λόγον ζʹ, καὶ ὄψει πρᾶγμα θαυμαστόν. πορεύου δὲ ἀνεπιστρεπτὶ μηδενὶ δοὺς ἀπόκρισιν, καὶ λουσάμενος καὶ βαπτισάμενος ἀνάβα παρὰ σαυτ[ὸ]ν καὶ ἡσύχασον ἀψύχοις τροφαῖς χρώμενος. γράφε δὲ χαλκῇ βελόνῃ ἀκεφάλῳ. ἔστι δὲ τὰ γραφόμενα· ‘ὁρκίζω σέ, δέσποτα Ὄσιρι, κατὰ τῶν σῶν ἁγίων ὀνομάτων· ουχιωχ: ουσεναραναθ: Οὔσιρει: Οὐσερραννʼ ουφθι· Ὀσορνουφη: Οὐσερ/ Μνευειί Οὐσερσετεμενθ: Ἀμαρα μαχι: χωμασω εμ μαϊ: σερβωνι εμερ Ἶσι· αρατωφι· εραχαξ· εσεοιωθ· αρβιωθι· αμενχουμ· μονμοντ ουζαθι· πηρ Οὐννεφερ εν ωωω, παραδίδωμί σοι, δέσποτα Ὄσιρι, καὶ παρακατατίθεμαί σοι τήνδε τὴν πρᾶξιν‘. (κοινόν.

7 ) Ἐὰν δὲ κατορυκτικὸν ποιῇς, ἢ 〈εἰσ〉 ποταμὸν ἢ γῆν ἢ θάλασσαν ἢ ῥοῦν ἢ θήκην ἢ εἰς φρέαρ, γράφε τὸν λόγον τὸν Ὀρφαϊκόν· ‘ασκει καὶ τασκει‘ λέγων, καὶ λαβὼν μίτον μέλανα βάλε ἅμματα τξεʹ καὶ ἔξωθεν περίδησον, λέγων πάλιν τὸν αὐτὸν λόγον καὶ ὅτι· ‘διατήρησον τὸν κάτοχον‘ ἢ κατάδεσμον, ἢ ὃ ἂν ποιῇς, καὶ οὕτως κατατίθεται. ἡ γὰρ σελήνη τὸ ὑπόγειον διοδεύουσα, ὃ ἐὰν εὕρῃ, λύει. τούτου δὲ γενομένου διαμένει ἅμα ἐπιλέγοντός σου καθ’ ἡμέραν ἐπὶ τῷ τόπῳ τούτῳ. μὴ ταχὺ με 〈τα〉 δίδου τινί· εὑρήσεις γὰρ μετὰ πολλοῦ καμάτου. Φίλτρον κάλλιστο ν . ἐπίγραψον ἐπὶ λάμνας κασσιτερίνης χαράξας. γράψον καὶ θὲς ὑπερπατῶν. καὶ τὰ γραφόμενά ἐστιν ταῦτα· ‘ἐξορκίζω σε κατὰ τοῦ ἐνδόξου ὀνόματος Βακχίου‘ (καὶ κοινά, ὅς’ ἂν θέλῃς). Φίλτρον κάλλιστο ν . ἐπίγραψον ἐπὶ λάμνας κασσιτερίνης τοὺς χαρακτῆρας καὶ τὰ ὀνόματα καὶ οὐσιάσας οἵᾳ δήποτε οὐσίᾳ ἕλιξον καὶ βάλε εἰς θάλασσαν. οἱ δὲ χαρακτῆρες οἵδε· ‘ [Magical Character] Ζ [Magical Character][Magical Character][Magical Character] ΙΟΖ [Magical Character][Magical Character] ΙΟ [Magical Character] ιχαναρμενθω· χασαρ· ποιήσατε τὴν δεῖνα φιλεῖν ἐμέ‘ (κοινά). γράφε ἐν ἥλῳ κυπρίνῳ ἀπὸ πλ[ο]ίου νεναυαγηκότος. Λαβὼν ὄστρακον ἀπὸ θαλάσσης ζωγράφησον εἰς αὐτὸ ζμυρνομέλανι τὸ ὑποκείμενον ζῴδιον Τυφωνιακὸν καὶ κύκλῳ αὐτοῦ τὰ ὀνόματα καὶ βάλε εἰς ὑποκαυστήριον βαλανείου. ὅταν δὲ βάλῃς, δίωκε λέγων ταῦτα τὰ ἐν τῷ κύκλῳ ἐγγεγραμμένα καὶ ὅτι· ‘ἄγε μοι τὴν δεῖνα, ἣ 〈ν〉 δεῖνα, ἐν τῇ σήμερον ἡμέρᾳ ἀπὸ τῆς ἄρτι ὥρας καιομένην τὴν ψυχὴν καὶ τὴν καρδίαν, ταχὺ ταχύ, ἤδη ἤδη.‘ ἔστι δὲ τὸ θεώρημα τὸ ὑποκείμενον. διώκων δὲ τὸν λόγον 〈λέγε〉 τὴν ἀ[ρ]χήν· ‘θεὸς οὗτος Ἀναγκῶν, ωκηση: εηρινι[α]ρεμιν: εντηνταιν: φοου τωνκτω· μνη σιεθων: Ὄσιρι: ενα[β]ωθ: ψανου: Λαμψουωρ: Ἰεου: ιω: ιω: αι: ηι: ει: αι: ει: αω: ἄγαγέ μοι τὴν δεῖνα τῆς δεῖνα‘ καὶ τὰ λοιπά. ἐστὶν δὲ τὸ ζῴδιον. ‘Ἔρως, Ἐρωτύλλε πασσαλεον ητʼ, ἀπόστειλόν μοι τὸν ἴδιον 〈ἄγγελον〉 τῇ νυκτὶ ταύτῃ δηλοῦντά μοι περὶ τοῦ τινος πράγματος. τοῦ 〈το〉 γὰρ ἐποίησα κατ’ ἐπιταγὴν Πανχουχι: θασσου: ἄφ’ οὗ ἐπιτασσόμενος ποιήσεις, ὅτι ἐξορκίζω σε κατὰ τῶν τεσσάρων κλιμάτων τοῦ κόσμου· Ἀψαγαήλ: χαχου: μεριουτ: μερμεριουτ: καὶ κατὰ τοῦ ἐπάνω τῶν τεσσάρων κλιμάτων τοῦ κόσμου: κιχ: μερμεριουθ:‘ (κοινόν.) ἐπίθυμα τοῦτο· λαβὼν ῥύπου ἀπὸ σανδαλίου σου καὶ ῥητίνης καὶ κόπρου περιστερᾶς λευκῆς ἴσα ἰσῶν ἐπίθυε πρὸς τὴν

ἄρκτον λέγων. φυλακτήριον τούτου· γράψον τὰ ὀνόματα ταῦτα εἰς πέταλον κασσιτερινόν· ‘Ἀχαχαήλ: χαχου: μαρμαριουτι‘ καὶ φόρει περὶ τὸν τράχηλον. μετεπικαλέσας εἴσελθε παρὰ σεαυτῷ, κο 〈ί〉 μισον τὸν λύχνον καὶ κοιμῶ ἐπὶ ψιάθ 〈ου κλ〉 ίνῃ καινῇ. 〈 Φυλακτήριο ν . 〉 λαβὼν θεῖον καὶ νειλοκαλάμης σπέρμα ἐπίθυε πρὸς τὴν σελήνην καὶ λέγε· ‘ἐπικαλοῦμαί σε, κυρία Ἶσι, ᾗ συνεχώρησεν ὁ Ἀγαθὸς Δαίμων βασιλεύειν ἐν τῷ τελείῳ μέλανι, τὸ ὄνομά σου· λου: λουλου: βαθαρθαρ· θαρησιβαθ: ἀθερνεκλησιχ ἀθερνεβουνι: ηιχομω: χομωθι: Ἶσι Σῶθι: σουηρι· Βούβαστις· ευρελιβατ’: χαμαρι: Νεβουτος: Ουηρι: αϊη: ηοα· ωαι: διαφυλάξατέ με, τὰ μεγάλα καὶ θαυμαστὰ ὀνόματα τοῦ θ[εοῦ]‘, κοινόν, ‘ὅτι ἐγώ εἰμι ὁ ἐν τῷ Πηλουσίῳ καθιδρυμένος σερφουθ: μουϊσρω στρομμω: μολωθ: μολονθηρ: φον Θώθ: διαφυλάξατέ με, τὰ μεγάλα καὶ θαυμαστὰ ὀνόματα τοῦ μεγάλου θεοῦ (κοινόν) ασαω: εϊω: νισαωθ: κυρία Ἶσις, Νέμεσις, Ἀδράστεια· πολυώνυμε, πολύμορφε, δόξασόν με, ὡς ἐδόξασα τὸ ὄνομα τοῦ υἱοῦ σου Ὦροσ‘.

κοινόν. Σύστασις ἰδίου δαίμονο ς . ‘χαίρετε, Τύχη καὶ δαῖμον τοῦ τόπου τούτου καὶ ἐνεστῶσα ὥρα καὶ ἡ ἐνεστῶσα ἡμέρα καὶ πᾶσα ἡμέρα. χαῖρε, τὸ περιέχον, ὅ ἐστιν γῆ καὶ οὐρανός. χαῖρε, Ἥλιε· σὺ γὰρ εἶ ὁ ἐπὶ τοῦ ἁγίου στηρίγματος σεαυτὸν ἱδρύσας ἀοράτῳ φάει Ορκορηθαρα. σὺ εἶ ὁ πατὴρ τοῦ παλινγενοῦς Αἰῶνος Ζαραχθω: σὺ εἶ ὁ πατὴρ τῆς ἀπλάτου Φύσεως [Verba Coptica]. σὺ εἶ ὁ ἔχων ἐν σεαυτῷ τὴν τῆς κοσμικῆς φύσεως σύγκρασιν καὶ γεννήσας τοὺς ε′ πλανήτας ἀστέρας, οἵ εἰσιν οὐρανοῦ σπλάγχνα καὶ γῆς ἔντερα καὶ ὕδατος χύσις καὶ πυρὸς θράσος: αζαμαχαρ: α[ν]αφανδαω: ερευα· ανερευα· φενφενσω: ϊγραα: σὺ εἶ ὁ νέος, εὐγενής, ἔγγονος ὁ τοῦ ἁγίου ναοῦ, ὁ συγγενὴς τῇ ἱερᾷ λίμ 〈ν〉 ῃ, τῇ καλουμένῃ ἀβύσσῳ, παρεστώσῃ ταῖς δυσὶ βάσεσιν σκιαθι: καὶ μαντω· καὶ ἐκινήθη τῆς γῆς τὰ δ′ θεμείλια, ὁ τῶν ὅλων δεσπότης, ἅγιε κάνθαρε: αω· σαθρεν Ἀβρασάξ: ιαωαι αεω· ηωα: ωαη: Ἰάω: ιηο: ευ: αη: ευ: ιε: ιαωαι.‘ τὸ ὄνομα γράφε ζμυρνομέλανι εἰς ὠὰ δύο ἀρρενικά· καὶ τῷ μὲν ἑνὶ περικαθαίρεις σεαυτὸν καὶ ἐκλείξας τὸ ὄνομα ἔκβαλε κατάξας. τὸ δ’ ἕτερον κράτει τῇ δεξιᾷ χειρὶ παρανεῳγμένῃ δεικνύων τῷ ἡλίῳ πρὸς ἀνατολὰς καὶ 〈ἐστεμμένοσ〉 ἐλαίας κλάδους. ἔπαιρε δέ σου τὴν χεῖραν τὴν δεξιὰν τῇ εὐωνύμῳ ὑποβαστάξας τὸν ἀγκῶνα καὶ εἰπὼν τὸν λόγον ζ′ καὶ ἀπολέψας ῥόφησον. ποίει ἐπὶ ἡμέρας ζ′ πρὸς ἀνατολὴν καὶ δύσιν διώκων τὸν λόγον. Νικητικόν · ‘Ἥλιε, Ἥλιε, εἰσάκουσόν μου, τοῦ δεῖνα, Ἥλιε, κύριε, θεὲ μέγιστε, ὁ τὰ ὅλα συνέχων καὶ ζῳογονῶν καὶ συνκρατῶν τὸν κόσμον, εἰς ὃν τὰ πάντα χωρεῖ, ἀφ’ οὗ καὶ ἐγένετο, ἀκάματε, ηιε: εληιε· Ἰεωα· ῥουβα· ἀναμαω: μερμαω: χαδαμαθα ἀρδαμαθα πεφρε ἀναμαλαζω φηχεινδευ· ενεδερευ· σιματοι· μερμερεω αμαλαξιφια· μερσιφια· ερεμε· θαστευ· Πάπιε· φερεδωναξ ἀναϊε γελεω· ἀμαρα ματωρ· μωρμαρησιο [:]νεουθων: αλαω· αγελαω: ἀμαρ: αματωρ: μωρμασι: σουθων: ἀναμαω: γαλαμαραρμα· εἰσάκουσόν μου, κύριε Ἥλιε, κα[ὶ] γενέσθω τὸ δεῖνα πρᾶγμα ἔνωρον‘. λέγε ἐπιθύων ἐπ’ ἀνθράκων δρυίνων κοῖφι ἱερατικόν, ᾧ μεμίχθω κριοῦ ὁλομέλανος ἐγκέφαλος καὶ κατανάγκης ἄλευρα. Λυχνομαντεῖο ν . σιδηρᾶν λυχνίαν θὲς ἐπὶ τοῦ ἀπηλιωτικοῦ μέρους ἐν οἴκῳ καθαρῷ καὶ ἐπιθεὶς λύχνον ἀμίλτωτον ἅψον. ἤτω δὲ τὸ ἐλλύχνιον ἀπὸ λίνου καινοῦ, ἅπτε δὲ λιβανω 〈τόν〉 . εἶτα ἐπίθυε λίβανον ἐπὶ ξύλων ἀμπελίνων. ὁ δὲ παῖς ἔστω ἄφθορος, καθαρός. λόγος· ‘Φισιο: Ἰάω: αγεανουμα: σκαβαρω σκασαβρωσου ασαβρω ὅτι δέομαι ὑμῶν ἐν τῇ σήμερον ἡμέρᾳ, ἐν τῇ ἄρτι ὥρᾳ φανῆναι τῷ παιδὶ τούτῳ τὸ φῶς καὶ τὸν ἥλιον, Μανε Οὔσειρι, Μανε Ἶσι, τὸν Ἄνουβιν, τ[ὸ]ν πάντων θεῶν ὑπηρέτην, κα[ὶ] ποίησον τὸν παῖδα κατασπασθῆναι καὶ ἰδεῖν τοὺς θεοὺς τοὺς εἰς τὴν μαντείαν παραγινομένους πάντας.

φάνηθί μοι ἐν τῇ μαντείᾳ, ὁ μεγαλόφρων θεός, τρισμέγας Ἑρμῆς, φανήτω ὁ 〈ποιήσασ〉 τὰ τέσσαρα μέρη τοῦ οὐρανοῦ καὶ τὰ τέσσαρα θεμείλια τῆς γῆς ῥεσεννηεθω: βασ[ε]νεραιπαν: θαλθαχθαχωθχ· χινεβωθ: χινεχωθ: μιμυλωθ: μασυντορι· ἀστοβι, ἧκέ μοι, ὁ ἐν τῷ οὐρανῷ, ἧκέ μοι, ὁ ἐκ τοῦ ὠοῦ· ὁρκίζω ὑμᾶς κατὰ τοῦ εντω ταψατι λεγηνισθω ηλεγη Σερφουα: μουϊσρω:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λεγε, 〈φανέντων καὶ〉 οἱ δύο θεοὶ οἱ περὶ σέ, Θαθ. καλεῖται ὁ εἷς θεὸς Σω, ὁ ἕτερος Ἀφ, καλου καγωηι σεσοφηϊ: Βαϊνχωωωχ‘. ὁ λόγος ὁ λεγόμενος· ἧκέ μοι, τὸ πνεῦμα τὸ ἀεροπετές, καλούμενον συμβόλοις καὶ ὀνόμασιν ἀφθέ〈γ〉κτοις, ἐπὶ τὴν λυχνομαντείαν ταύτην, ἣν ποιῶ, καὶ ἔμβηθι αὐτοῦ εἰς τὴν ψυχήν, ἵνα τυπώσηται τὴν ἀθάνατον μορφὴν ἐν φωτὶ κραταιῷ καὶ ἀφθάρτῳ, ὅτι ᾄδων καλῶ· ‘Ἰάω Ἐλωαὶ μαρμαχαδα· μενεφω· μερμαι ιηωρ αιεω: ηρεφιε: φερεφιω· χανδουχ Ἀμων ερεπνευ· ζωνωρ· ακλευα μενηθωνι· καδαλαπευ ιωπλαιτινε· ῥε Ἀώθ: ιηϊ· ωηϊ· αεηφ: μεδχηνωρ αλαχαλ· Περεχαηλ· σερενωφ: δουναξ· ἀναξιβοα· Ἔρεβε βω· βεβωβια· ανησιοδευ· ιαωα· ενιωεαλ εμερω· μασαιανδα. δεῦρό μοι, κύριε, ἐπὶ τῷ ἀχράντῳ φωτὶ ὀχούμενος, ἀψευδὴς καὶ ἀμήνιτος, ἐμοὶ καὶ τῷ ἐπόπτῃ σου παιδί, Μαρμαριαυ· ἀναψιχαλαω: πεοε νιψεουα: αιετυ Ἁρεννωθης ανερωφης ϊθυαμαρεμ· ωσιηρ: ἀναψιχυων ψυελημιχαλης, φάνηθι‘. λέγε γʹ. ἐὰν εἴπῃ· ‘ὁρῶ τὸν κύριόν σ〈ο〉υ ἐν τῷ φωτί‘, λέγε· ‘ἅγιε υμερι: ειγεσου· εντω τηριουα· μενη σομιωω· αλαμαωρ· χωχενεμητωρ, ‘ καὶ οὕτως ἀποκρίνεται. ἐρώτα· ‘αρσερετωθι· οὐημαντουρ.‘ Φυλακτήριον σωματοφύλαξ πρὸς δαίμονας, πρὸς φαντάσματα, πρὸς πᾶσαν νόσον καὶ πάθος· ἐπιγραφόμενον ἐπὶ χρυσέου πετάλου ἢ ἀργυρέου ἢ κασσιτερίνου ἢ εἰς ἱερατικὸν χάρτην φορούμενον σφραγιστικῶς ἐστιν. ἔστιν γὰρ δυνάμεως ὄνομα τοῦ μεγάλου θεοῦ καὶ σφραγίς. ἔστιν δέ, ὡς ὑπόκειται· Κμῆφις· χφυρις· ἰαεω Ἰάω αεη Ἰάω οω Αἰών, ἰαεω βαφρενεμουν οθιλαρικριφιαευεαι φιρκιρα λιθανυομε νερφαβωεαι. τα[ῦ]τα τὰ ὀνόματα, τὸν δὲ χαρακτῆρα οὕτως· ἔστω ὁ δράκων οὐροβόρος, τὰ δὲ ὀνόματα μέσον τοῦ δράκοντος καὶ οἱ χαρακτῆρες οὕτως, ὡς ὑπόκειται· [Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character] . τὸ δὲ σχῆμα ὅλον οὕτως, ὡς ὑπόκειται, ὅτι· ‘διαφύλασσέ μου τὸ σῶμα, τὴν ψυχὴν ὁλόκληρον ἐμοῦ, τοῦ δεῖνα.‘ καὶ τελέσας φόρει. ‘διαφ[ύλασσέ μου] τὸ σῶμα, [τὴν] ψ[υ-] χὴν [ὁλόκλη]ρον ἐμοῦ το[ῦ δε]ῖνα‘. κοινά. ‘Ἐλθέ μοι, ἀ[κ]οὴ οὐρανοῦ, ἐλθέ μοι, ἀκ[οὴ ἀέρω]ν, ἐλθέ μοι, ἀκοὴ γῆσ‘, καὶ τὰ λοιπά, ὡς ὑποδείκ[νυ]ται. Ἀγωγὴ ἀσχέτου · λαβὼν [λύχνο]ν ἐπ[τάμ]υξον ἀμίλτωτον ποίησον ἐλλύχνιον [ἀπ]ὸ πλοίου νεναυαγηκότος καὶ ἐπὶ μὲν τ[ο]ῦ [αʹ] ἐλλυχνίου γράφε ζμύρνῃ Ἰάω:, ἐπὶ τοῦ βʹ Ἀδωνάι, ἐπὶ τοῦ γʹ [ Σα]βαώθ:, ἐπὶ τοῦ δʹ Παγουρη, ἐπὶ τοῦ εʹ Μαρ[μορ]ουθ:, ἐπὶ τοῦ ςʹ Ἰαεω, ἐπὶ τοῦ ζʹ Μιχαήλ, καὶ βαλὼν ἔλαιον εἰς τὸν λύχνον θὲς ἐπὶ θυρίδα τῷ νότῳ βλέπουσαν.

7 ἤτω δὲ καὶ ἀρτεμισίας σπεῖρα ἐπὶ τὸν λύχνον (κατὰ περι[φορὰν] λύχνου), καὶ δίωκε τὸν λόγον· ‘ἐπικαλοῦμαι ὑμᾶς, τοὺς δυνάστας, μεγάλους θεούς, τοὺς λαμπυριζομένους ἐν τῇ ἄρτι ὥρᾳ, ἐν τῇ σήμερον ἡμέρᾳ, χάριν τῆς ἀσεβοῦς δεῖνα. αὕτη γὰρ εἴρηκεν, ⋮ ὅτι ὁ Ἰάω πλευρὰς οὐκ ἔχει, 〈ἡ δεῖνα εἴρηκεν,〉 ὅτι Ἀδωναὶ ἐπὶ χόλῳ βίᾳ ἐβλήθη. ⋮ 〈ἡ δεῖνα εἴρηκεν,〉 ὅτι Σαβαὼθ ἔβαλεν τὰς τρεῖς κραυγάς. ἡ δεῖνα εἴρηκεν ὅτι· ‘ὁ Παγουρη ἀρσενόθηλυς ἔφυ‘. ἡ δεῖνα εἴρηκεν ὅτι· ‘ὁ Μαρμορουθ ἀπεκάπη‘. ἡ δεῖνα ε[ἴ]ρηκεν ὅτι· ‘ὁ Ἰάεω οὐκ ἐπιστεύθη τὴν λάρνακα‘. ἡ δεῖνα εἴρηκεν ὅτι· ‘ὁ Μιχαὴλ ἀρσενόθηλυς ἔφυ‘. οὐκ ἐγώ εἰμι ὁ λέγων, δέσποτα, ἀλλ’ ἡ ἀσεβὴς δεῖνα. διὸ ἄξατέ μοι αὐτὴν φλεγομένην, ὑποτασσομένην, ὕπνου μὴ τυχεῖν, μέχρις ἔλθῃ πρὸς ἐμέ‘. λέγε ζʹ. ἐὰν μὲν ὁ π[ρ]ῶτος λύχνος πταρῇ, γνῶ, ὅτι εἴλημπται ὑπὸ τοῦ δαίμονος. ἐὰν δὲ ὁ βʹ, ἐξῆλθεν. ἐὰν δὲ ὁ γʹ, περιπατεῖ. ἐὰν δὲ ὁ δʹ, ἥκει, ἐὰν δὲ ὁ εʹ, ἥκει εἰς τὸν πυλῶνα. ὁ ςʹ, εἰς τὸν πεσσόν. ὁ ζʹ, ἥκει εἰς τὴν οἰκίαν. ἄγει δὲ καὶ διαποντίους· ἵνα αὐτὸν τὸν λύχνον [ἐ]νθῇς ἐν ὑδατίῳ ὑπαι[θρίῳ, ἤτω δ]ὲ κάτω το[ῦ λύ]χν[ου β]ᾶρις παπυρίνη, καὶ δί[ωκε τὸν] λόγον ςʹ. Ἐκ τοῦ Διαδήματος Μουσέω ς . κυνοκεφαλ[ί]διον βοτάνην λαβὼν κεί(μενος) ἔχε ὑπὸ τὴν γλῶττάν σου καὶ πρωὶ ἀναστά〈σ〉, πρὶν λαλῆς, ἐπίλεγε τὰ ὀνόματα, καὶ ἀθεώρητος ἔσει πρὸς πάντας. ἐπὰν δὲ ἐπὶ ποτ[ή]ρια εἴπῃς καὶ δώσῃς γυναικί, φιλήσει σε, ὡς ἔστιν ἐπὶ πά[ντ]ων λόγος οὗτος· ‘αρεσκιλλιους: θουδαλεσαι κραμμ[α]σι χαμμαρ μουλαβωθ[:] λαυαβαρ: χουφαρ: φο[ρ]: φωρβαω: σαχι Ἁρβαχ: μαχιμασω Ἰάω, Σαβαώθ, Ἀδωναί‘. πρὸς ὃ θέλεις, λέγε. ‘ποίησον τὴν δεῖνα πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν δεῖνα‘. κοινά, ὅσα θέλεις. Λαβὼν καλαβώτην ἀπ’ [ἀ]γροῦ ἔασον αὐτὸν εἰς κρίνινον, ἕως ἂν ἀποθεωθῇ. ἔπειτα γλύψον τὸν ἐν Μέμφει Ἀσκληπιὸν ἐπὶ δακτυλίου σιδηροῦ ἀπὸ ἀναγκοπέδης καὶ βάλε εἰς κρίνινον ἔλαιον, καὶ ὅτε χρήζῃ, λαβὼν τὸν δακτύλιον δεῖξον τῇ Ἄρκτῳ λέγων τὸν λόγον ζʹ. ‘Μενωφρι, ὁ ἐπὶ τὰ Χερο[υ]βὶν καθήμενος· πέμψον μοι τὸν ἀληθινὸν Ἀσκληπιὸν δίχα τινὸς ἀντιθέου πλανοδαίμονος.‘ εἶτα ἔνεγκ[ο]ν τὸ θυμιατήρ ⟨ι⟩ ον, ὅπου μέλλεις κοιμᾶσθαι, κ[αὶ] θῦσον λιβάνου κόκκους γʹ καὶ περιένεγκον τὸν δακ[τ]ύλιον ἐπὶ τῆς ἀτμίδος τοῦ λιβάνου λέγων ζʹ τὸν [λόγον]· ‘χαυαψ: ωαειαψ: ωαις Λυσίφθα: κύριε Ἀσκληπιέ, φάνηθι.‘ καὶ φόρε ⟨ι⟩ τὸν δακτύλιον εἰς τὴν δεξιὰν χεῖρα ἐν τῷ λιχανῷ. Ποτήριο ν , λίαν θαυμαστόν. λόγον λεγόμενον εἰς τὸ ποτήριον λέγε ζʹ. ‘σὺ εἶ οἶνος, οὐκ εἶ οἶνος, ἀλλ’ ἡ κεφαλὴ τῆς Ἀθηνᾶς. σὺ εἶ οἶνος, οὐκ εἶ οἶνος, ἀλλὰ τὰ σπλά[γ]χνα τοῦ Ὀσίρεως, τὰ σπλάγχνα τοῦ Ἰάω, Πακερβηθ: Σεμεσιλάμ ωωω η παταχνα ιαaa.‘ (κατ’ ἀνάγκας· ‘ἀβλαναθαναλβα ἀκραμμαχαμαρει εεε, ὁ ἐπὶ τῆς ἀνάγκης τεταγμένος, Ἰακοὺβ Ἰα Ἰάω, Σαβαώθ, Ἀδωνάϊ, Ἀβρασάξ‘). ‘ἐφ’ ἧς ὥρας ἐὰν καταβῇς εἰς τὰ σπλάγχνα τ[ῆς] δεῖνα, φιλησάτω με, τὸν δεῖνα, [εἰς τὸ]ν ἅπαντα τῆς ζωῆς αὐτῆς χρόνον. [645]

7 (650) ‘ Ἀγρυπνη [ τ ι ]κὸν διὰ νυκτερίδος. ⟨λαβὼν⟩ αἷμα μελάνης βοὸς ἢ α[ἰγ]ὸς ἢ Τυφωνίου, ἐξαιρέτως δὲ αἰγός, γράφε ἐπὶ τῆς δ[ε]ξιᾶς πτέρυγος· ‘βωρφωρ φορβα φορφαρβα φωρβωρφορβα· φορβα φορβα φορβα: βαφαιη: φω[ρβα]φωρ: βαρβα:‘ ἓν ὑπὸ τὸ ἓν [τ]ι[θεὶς ὡς] πλινθίον καὶ [κοινά, ὅσα] βούλει. ἐπ[ὶ] δὲ [τῆς] εὐ[ω]νύμου πτέρυγος γράφε [τάδε τ]ῷ αὐτῷ τύπῳ· ‘φορφωρ: φορβα: βορφορ: φορβα· βορφορ: φορβα φορφορ: φορβαβωρ· βορβορβα: φωρφωρ φορβα,‘ ὁμοίως κοινά, ὡς βούλει. Φίλτρο ν . ἐπὶ λαλήματος καταφιλῶν λέγε· ‘ανοκ: θαρενεπιβαθα: χεουχχα ανοα ανοκ χαριεμοχθ ` Λαϊλαμ.‘ Ὀνειραιτητό ν . λαβὼν βύσσι[νον ῥάκος, εἰ]ς ὃ [γ]ράφεις [ζμύρνῃ τ]ὸ πρᾶγμα, καὶ εἰλήσας κλῶνα ἐλαίας θ[ὲ]ς πρὸς κεφαλήν σου, ὑπὸ τὸ ἀριστερὸν μέρος τῆς κεφαλῆς, καὶ κοιμῶ ἁγνὸς εἰς ψίαθον χαμαί, λέγων τὸν λόγον ζʹ πρὸς τὸν λύχνον· ‘Ἑρμῆ, παντοκράτωρ, ἐνκάρδιε, κύκλε Σελήνης, στρογγύλε, τετράγωνε, λόγων ἀρχηγέτα γλώσσης, πειθοδικαιόσυνε, χλαμυδηφόρε, χρυσοπέδιλε, ⟨αἰ⟩ θέρι[ον] δρόμον εἰλίσσων ὑπὸ τάρταρα γαίης, πνεύματος, ἠελίου ἡνίοχε, ἀθαν ⟨άτ⟩ ων τε λαμπάσι τέρπων τοὺς ὑπὸ τάρταρα γαίης βροτοὺς β[ίο]ν ἐκτελέσαντας, Μοιρῶν τε κλωστὴρ σὺ λέγῃ ⟨καὶ⟩ θεῖος Ὄνειρος, ἡμερινοὺς καὶ νυκτερινοὺ[ς χ]ρησμοὺς ἐπιπέμπων. ἰᾶσαι πάντων βροτῶν ἀλγήματα ⟨σαῖσ⟩ θεραπείαις· δεῦρο, μάκαρ, θεῆς τελεσίφρονος υἱὲ μέγιστε, σῇ μορφῇ ἱλαρῷ τε νοῷ· δεῖγμ’ ἀνθεὶς δὲ ἀφθάρτῳ κούρῳ μαντοσύνην ⟨τὴν σὴν⟩ ἔκπεμψον ἀληθῆ. Οιοσενμιγαδων: Ὀρθώ: Βαυβώ: νιοηρε: κοδηρεθ δοσηρε: συρε: συροε: σανκιστη: δωδεκακι[σ]τη: ἀκρουροβόρε: κοδηρε: ρινωτον: κουμετανα: ρουβιθα: νουμιλα· περφερο[υ]: Ἁρουωρηρ: Ἁρουηρ:‘ λέγε ἑπτάκις καὶ κοινά, ὅσα θέλεις. Ἀρκτικ ή . ‘Ἄρκτε, Ἄρκτε, ἄρχουσα τοῦ οὐρανο[ῦ] καὶ τῶν ἄστρων καὶ τοῦ σύνπαντος κόσμου, ἡ στρέφουσα τὸν ἄξονα καὶ κρατοῦ[σα τοῦ ὅ]λου συστήματος βίᾳ καὶ ἀνάγκῃ· ἐντυ ⟨γ⟩ χάνω σοι, δεόμενος καὶ ἱκετεύων, ὅπως ποιήσῃς τὸ δεῖνα, ὅτι ἐπικαλοῦμαί σε τοῖς ἁγίοις σου ὀνόμασιν, οἷς χαίρει σοῦ ἡ θειότης, ὧν οὐ δύνῃ [παρα]κοῦσαι· Βριμώ, ῥηξίχθων: προκυνη Βαυβώ λ[ ...... ] ι: αυμωρ: αμωρ: αμ[ω]ρ[ . ]ιηα: ἐλαφη ⟨βόλε⟩ αμαμ[αμαρ] Ἀφρου[ . ]μα: πασιδάμεια, βουλοδάμεια, αμαμα· εὐναία, Δαρδα ⟨νία, πα⟩ νοπαία· νυκ[το]δρόμα, βιάσανδρα, δαμάσανδρα, καλέσανδρα, κατανίκανδρα, λιχρισσα, φάεσσα, ἰὼ ἀ ⟨ε⟩ ρία, ἰὼ Ἐρυμναία, ἰὼ μολπή, φυλακή, πρόσκοπ[ε], Χάρις, τρυφερά, πρόστατις, ἀδαμάντα, ἀδαμάντειρα, ἰὼ δαμναμένεια, βρεξερικανδαρα, πα[ν]υπάτα, ταυριατα, ἄφθεγκτε, πυροσώματε, προ[φαίδι]με, καρχάροπλε, ποίησον τάδε. [695]

7 (700) ‘ κοινά. Ὀνειραιτητόν · γράφε [ζμύρνῃ ἐ]ν χάρτ[ῃ κ]αθαρῷ· ‘σε καλῶ, τὸν καταλάμποντα τὴν ὅλην οἰκουμένην καὶ τὴν ἀοίκητον, οὗ ἐστιν τὸ ὄνομα γραμμάτων λʹ, ἐν ᾧ ἐ[σ]τιν τὰ ἑπτὰ φωνάεντα, δι’ ὧν ⟨τὸ⟩ πᾶν ὀνομάζε[τ]ε, θεοὶ κύριοι· ραραπαε: αβραϊη ιρα[ρ]α παυουω

ἀραωαχ (γράμματα λʹ) [ι]εωυωη αιη ιαωη υωει· χρηματίσα[τέ μο]ι, κύριοι, περὶ τοῦ δεῖνα πράγματος βεβαίως καὶ διὰ μνήμης, ψιχομ μοραιουχ: ψιχομ: ἀρασκελλιθ: ηχομμορακαυψ ψιχομμο ἀρατοποθ: κύριοι δόξης, χρηματίσατέ μοι περὶ τοῦ δεῖνα πράγματος ἐν ταύτῃ τῇ νυκτί, Θωούθ, φευβη χαρφραυθι φρε‘. κοινά, ὅσα θέλεις, καὶ τὸ μὲν ὄνομα τῶν λʹ γραμμάτων γράψον βʹ πτερύγια οὕτως· ραραπαεαβραϊηϊραραπαουωαβραωαχ ραραπαεαβραϊη ιραρα παουω αβραωαχ: ω α χαωαρβαωυο[α]παραριηιαρβαεαπαραρ ραρ α α ρ ρ ω ω ρ ϊεωυωη[αιηιαωηυωεϊ] ε ε γράψον, ὡς ὑπόκειται, καὶ τὴν κ[αρδίαν, εἰ] θέλεις, καὶ ὑποθε〈ὶ〉 ς ὑπὸ τὸν λύχνον τὸ π[ιτ]τ[άκιο]ν ἁγνὸς ὢν κοιμῶ. μηδενὶ δὸς ἀπόκρισιν ἐντ [Magical Character] θλχ. Ἀπόλλωνος αὔτοπτο ς . ἐν οἴκῳ ἐπιπέδῳ χωρὶς φωτὸς στεφανωσάμενος σαμψουχίνῳ στεφάνῳ, ὑποδησάμενος λύκεια ὑποδήματα δίωκε τὸν λόγον τοῦτον. λόγος· ‘[Ἥλι]ε φεγγάρχα: μερ[ .. ]ειφιρα: γαργερι Φθᾶ: ερ[ .. ] οιε: [ ..... ]: γερλυχα: μερ [ . οφο]ρ ιθαρα: φερξει: αρ[χ .... ] ειδ ... φωριθαρζει: ερφιβιλχιε: ζειραβελβη: βιχα: αρθια: μηλιχια: ἔργα: γερφι: ἰὼ χερφει: καργωοαρα εαρμιλιχα: ἀθερθαφθω αθθερθαφι: ἀρναχερ[β]βι‘. ταῦτα εἰπόντος ἐλεύσεται ὁ θεὸς Ἀπόλλων, σπονδ[εῖ]ον ἔχων. σὺ δὲ πυθοῦ, πε[ρὶ] οὗ θέλεις. μνήμης δίδουσιν, ἐὰν ἐθέλῃς, καὶ ἐὰν αἰ[τ]ήσῃς, δώσει σοι ἀπὸ τοῦ σπονδείου πεῖν. ἀπόλυσις· ‘ερκικχι: βελτηαμιλιχα: αρχαρζειρ: φιζωρ: γειρφει.‘ 〈 Ὀνειραιτητό ν . γράψον〉 εἰς π[τ]ύχιον κασσιτέρινον καὶ ἐπιστεφανώσας μύρτοις τὸ πτύχιον θὲς τὸ θυμιατήριον. ἐπίθυε δὲ λίβανον καὶ περιένεγκον λέγων περὶ τὴν ἀτμί[δ]α τὸ πέταλον· ‘κύριοι θεοί, χρηματίσατέ μοι περὶ τοῦ δεῖνα πράγματος ταύτῃ τῇ νυκτί, ταῖς ἐπερχομέναις ὥρ[αις.] πάντως δέομαι, ἱκετεύω, δοῦλος ὑμέτερος καὶ τεθρονισμένος ὑμῖν.‘ ἔπειτα θεὶς ὑπὸ τὸ προκεφάλαιον τὸ π[τ]ύχιν κοιμῶ, μηδενὶ δοὺς ἀπόκρισιν, ἁγνεύσας ἡμέρας γʹ. λόγος ὁ γραφόμενος· ‘μου αμου: αυ Ἰάω αβαρβαρασα αϊω βαωα χφηνουρις αωβ: αμο Ἀδωνάϊ: ωιγ ιιιι οθθουω αορχα αρορχα χαξυν ` νηρε θιραρι οθω χοωθ ερρε: οχω ανα ηεφρορε: χειρ ηϊν· ιηιω ωωααμαδαα // οοο ωωω ωωα.

7 (750) ‘ γράψον χαλκῷ γραφείῳ. εὐχ ή . ‘ἐπικαλοῦμαί σε, πάνμορφον καὶ πολυώνυμον δικέρατον θεὰν Μήνην, ἧς τὴν μορφὴν οὐδὲ εἷς ἐπίσταται πλὴν ὁ ποιήσας τὸν σύμπαντα κόσμον, Ἰάω, ὁ σχηματίσας 〈σε〉 εἰς τὰ εἴκοσι καὶ ὀκτὼ σχήματα τοῦ κόσμου, ἵνα πᾶσαν ἰδέαν ἀποτελέσῃς καὶ πνεῦμα ἑκάστῳ ζῴῳ καὶ φυτῷ νέμῃς, ἵν’ εὐερ〈νὲσ〉 ῇ, ἐξ ἀφανοῦς ἡ εἰς φῶς αὐξανομένη καὶ ἀπὸ φωτὸς εἰς σκότος ἀπολήγουσα ⋮ (εἰς μείωσιν ἄρχουσα ἀπολήγειν). καὶ ἔστιν σου ⋮ ὁ αʹ σύντροφος τ[οῦ] ὀνόματος σιγή, ὁ βʹ ποππυσμός, ὁ γʹ στεναγμός, ὁ δʹ συριγμός, ὁ εʹ ὀλολυγμός, ὁ ϛʹ μυγμός, ὁ ζʹ ὑλαγμός, ὁ ηʹ μυκηθμός, ὁ θʹ χρεμετισμός, ὁ ιʹ φθόγγος ἐναρμόνιος, ὁ ιαʹ πνεῦμα φωνᾶεν, ὁ ιβʹ ἦχος [ἀ]νεμοποιός, ὁ ιγʹ φθόγγος ἀναγκαστικός, ὁ ιδʹ τελειότητος ἀναγκαστικὴ ἀπόρροια. Βοῦς, γύψ, ταῦρος, κάνθαρος, ἱέραξ, καρκίνος, κύων, λύκος, δράκων, ἵππος, χίμαιρα, θέρμουθις, αἴξ, τράγος, κυνοκέφαλος, αἴλουρος, λέων, πάρδαλις, μυγαλός, ἔλαφος, πολύμορφος, παρθένος, λαμπάς, ἀστραπή, στέλμα, κηρύκειον, παῖς, κλείς. εἴρηκά σου τὰ σημεῖα καὶ τὰ σύμβολα τοῦ ὀνόματος, ἵνα μοι ἐπακούσῃς, ὅτι σοι ἐπεύχομαι, τῇ δεσποίνῃ τοῦ παντὸς κόσμου. ἐπάκουσόν μου, ἡ μόνιμος, ἡ κραταιά, αφειβοηω μιντηρ οχαω πιζεφυδωρ χανθαρ χαδηροζο: μοχθιον εοτνευ φηρζον αινδης λαχαβοω πιττω ριφθαμερ ζμομοχωλειε τιηδραντεια οισοζοχαβηδωφρα.‘ κοινόν. Ὀνειραιτητὸν Πυθαγόρου κ [ α ὶ ] Δημοκρίτου ὀνειρόμαντις μαθηματικό ς . ὁ εἰσερχόμενος ἄγγελος ἡλίῳ ὑποτέτακται καὶ ὡς ὑποτεταγμένος ἡλίῳ εἰσέρχεται, οὕτως ἐν φίλου σου, οὗ γνωρίζεις, σχήματι εἰσέρχεται, ἔχων ἀστέρα ἔκλαμπρον ἐπὶ τῆς κεφαλῆς, ποτὲ δὲ καὶ πύρινον εἰσέρχεται ἔχων ἀστέραν.

7 (800) λαβὼν οὖν κλάδον δάφνης ἐπίγραψον εἰς ἕκαστον φύλλον ζῴδιον κινναβάρει (καὶ τὸ ὄνομα αὐτοῦ τοῦ ζῳδίου προσυπογράφων), ἐστεμμένος. καὶ αὕτη ἡ πρᾶξις ἔ[ν]θεος· διὸ ἐν στέρνοις ἔχων τὰ ὑπ’ ἐμοῦ σοι δηλωθέντα καὶ μετὰ τὴν ἀπόλυσιν τοῦ βίου τοῦ ἐμοῦ ὁσίως πράξας ἐπιτεύξῃ. ἔστιν δὲ κριοῦ Ἁρ Μονθ Ἁρ θω χε αʹ ταύρου νεοφοβωθα θοψ [Magical Character] Β

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διδύμων αριστανаβα ζαω [Magical Character] Γ καρκίνου πχορβαζαναχαυ [Magical Character] [Magical Character][Magical Character] λέοντος ζαλαμοιρλαλιθ [Magical Character][Magical Character] παρθένου ειλεσιλαρμου φαι [Magical Character][Magical Character] ζυγοῦ ταντινουραχθ σκορπίου χορχορναθι [Magical Character][Magical Character][Magical Character] τοξότου φανθενφυφλια [Magical Character][Magical Character][Magical Character][Magical Character] αἰγοκέρως αζαζαεισθαιλιχ [Magical Character] ὑδρηχόου μεννυ Θύθ, Ἰάω [Magical Character][Magical Character][Magical Character] ἰχθῦς σερυχαρραλμιω [Magical Character] ΙΒ λαβὼν καὶ ἕτερον φύλλον δάφνης βασιλικῆς ἐπίγραψον κινναβάρει θεοῦ ζῶντος ὄνομα τοῦτο· ‘χαλχανα φοε κοσκιανω· (ιθ′) αλημονταλλ[ . ] ασειχ.‘ ἐπιγράψας δὲ ἐπὶ ἡμέρας γ′ τόδε ποίει· ἐντύλισσε τὰ φύλλα ἐν σουδαρίῳ καινῷ καὶ τίθει ὑπὸ τὴν κεφαλήν σου. ἐλθὼν ἀέρος δυσμικοῦ ἐπιθύων λίβανον λέγε τὸν λόγον· ‘Ἐπικαλοῦμαί [σ]ε, ἅγιε ἄγγελε Ζιζαυβιω ἀπὸ τῆς Πλειάδος τάξ[ε]ως, ᾗ ὑποτέταξαι καὶ δουλεύεις 〈εἰσ〉 ἅπαντα καὶ εἰς ὃ ἄν σε κελεύσει, σὺ μέγας, ἄφθαρτος, πυρίπνους, εἷς τὴν οὐρανοῦ σει〈ρ〉άν, δι’ ἧς τὰ πάντα στρέφουσιν ἐπὶ γῆν, καὶ ὑμᾶς δὲ αὐτούς, ὅσοι ἐστὲ ἄγγελοι ὑπὸ τὴν δύναμιν αὐτοῦ τεταγμένοι· διὸ παρακαλῶ, ἵνα τάχει ἔλθητε ἐν τῇ νυκτὶ ταύτῃ καὶ δηλώσητέ μοι, περὶ ὧν θέλω, σαφῶς καὶ βεβαίως. ἐξορκίζω σέ, κύριε ἀνατέλλ[ων] κατὰ γαῖαν τόπου ὅλου κοσμικοῦ, κατὰ τοῦ κυριεύοντος τὴν ὅλην οἰκουμένην καὶ εὐεργετοῦντος τὰ πάντα, διὸ παρακαλῶ σε ἐν ταύτῃ τῇ νυκτί, καὶ πάντα μοι δηλώσῃς κατὰ τοὺς ὕπνους ἐπ’ ἀκριβείας, ἄγγελε Ζιζαυβιω.‘ ἐλθὼν πρὸς ἑαυτὸν καὶ λιβανωτίσας τὸν κλάδον θὲς πρὸς κεφα[λήν σου κα]ὶ κοιμῶ ἁγνός. σχεδὸν δὲ 〈ὁ τόποσ〉, οὗ ποιεῖς, ἤτω παναγνός. τὸ δὲ φυλακτήριον, ὅπου τὸ ὄνομα ἐγγ〈έγ〉ραφας, θὲς πρὸ〈σ〉 κεφαλήν σου, τὸ〈ν〉 δὲ κλάδον στέφου. Εἰς τὸν ἥλιον σκιά · λέγε ἁγνεύσας πρὸς τὸν ἥλιον ἐλθών, ἐστεμμένος οὐρὰν αἰλούρου ἐπὶ ὥρας ε′· ‘ερβεθ βιο .... φ ... φ . λλ .. ιι αναχ αβαρειρ λατωρωχ· ερβεβριθα: αμβριθηρα· ωρυκισταρ Λαΐλαμ: αωρ ξαρξι θαδαρι ησυρφα φωρφι αγηρωχη βεβαθα· βαρα λιρυπω φερχη αμιαρθ θερθι γωρη αμιναχαρφα ιργιραμου θαρφι θειριωρυ[ς]· φερια φορφοροφι‘: ταῦτα εἰπὼν ὄψ[η] σκιὰν ἐν ἡλίῳ καὶ καμμύσας ἀναβλέψ[α]ς ὄψῃ ἔ[μ]προσθέν σου σκιὰν ἑστῶσαν, καὶ πυνθάνου, ὃ θέλεις.

7 ‘ερβαιγωρυθαρφθειρ:‘ φυλακτήριον· ἡ οὐρὰ καὶ οἱ χαρακτῆρες σὺν τῷ κύκλῳ, 〈ᾧ〉 ἐφεστήξει, γράψας κρήτῃ. οἱ δὲ χαρακτῆρές εἰσιν οἵδε· [Magical Character][Magical Character] [Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character] [Magical Character][Magical Character][Magical Character][Magical Character] [Magical Character] Κλαυδιανοῦ σεληνιακὸν καὶ οὐρανοῦ καὶ ἄρκτου τε〈λετὴ〉 ἐπὶ σεληνιακῶν. ἡ βίβλος ἥδ’ αὐτή, 〈δ〉ώδεκα ἰδία θεῶν, ηὑρέθη ἐν Ἀφροδιτοπόλει 〈παρὰ〉 τῇ θεᾷ μεγίστῃ Ἀφροδίτῃ Οὐρανίᾳ, [ἥ]τις τὰ πάντα περιέχει. ἔστιν δὲ ἡ κατασκευὴ τῆς κ[υ]ρίας Σελήνης οὕτω γινομένη· λαβὼν πηλὸν ἀπὸ τροχοῦ [κ]εραμικοῦ μῖξον μίγματος τοῦ θείου καὶ πρόσβαλε αἰγὸς ποικίλης αἷμα καὶ πλάσον κυρίαν Σελήνην Αἰγυπτίαν, ὡς ὑπόκειται, σχηματιζομένην παντόμορφον, καὶ ποίησον ναὸν ἐλάινον, καὶ πρὸς τὸν ἥλιον μὴ θεωρησάτω τὸ σύνολον. καὶ τελέσας αὐτὴν τῇ κατὰ πάντων τελετῇ 〈ἀπόθου〉, καὶ ἔσται προτετελεσμένη. χρίσῃ δὲ αὐτὴν καὶ τῷ σεληνιακῷ χρίσματι καὶ στεφανώσεις καὶ ὀψέ, ὥρᾳ ε′ νυκτός, ἀπόθ[ο]υ αὐτὴν πρὸς σελήνην ἐν [οἴκ]ῳ καθαρῷ. ἐπίθυε δὲ καὶ τὸ σεληνιακὸν ἐπίθυμα, καὶ διώκων τὸ ὑποκείμενον ἑξῆς ὀνειροπομπήσεις, καταδήσεις· ποιεῖ γὰρ μεγάλως πρὸς Σελήνην 〈ἡ〉 κλῆσις. προχρισάμενος δὲ 〈μετὰ〉 τοῦ χρίσματος ἔντευξῃ. καὶ 〈ἔστιν〉 ὁ λόγος σεληνιακός· ‘ἐπικαλοῦμαί σε, δέσποινα τοῦ σύνπαντος κόσμου, καθηγουμέν〈η συστήματ〉ος τοῦ σύμπαντος, θεὰ μεγαλοδύναμε, [δαίμ]ων ἱλαρῶπι, νυχία, ἠροδία, φεροφορη αναθρα ... ουθρα ἐξ〈ακ〉ούσ[α]σα τὰ ἱερά σου σύμβολα δὸς ῥοῖζον [καὶ] δὸς ἱερὸν ἄγγελον ἢ πάρεδρον ὅσ〈ι〉ον διακονή[σον]τα τῇ σήμερο[ν ν]υκτί, ἐν τῇ ἄρτι ὥρᾳ προκυνη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βαυβὼ φοβειος μηε, καὶ κέλευσον ἀγγέλῳ ἀπελθεῖν πρὸς τὴν δεῖνα, ἆξαι αὐτὴν τῶν τριχῶν, τῶν π[ο]δῶν· φοβουμένη, φανταζομένη, ἀγρυπνοῦσα ἐπὶ τῷ ἔρωτί μου καὶ τῇ ἐμοῦ φιλίᾳ, τοῦ δεῖνα, ἥκοι σηκῷ.‘ ὧδε ἡ ᾠδή ἐστιν. ὅταν δὲ ἴδῃς τὴν θεὰν πυρρὰν γινομένην, γίνωσκε, ὅτι ἄγει ἤδη, καὶ τότε λέγε· ‘δέσποτι, ἔκπεμψον ἄγγελόν σου ἐκ τῶν παρεδρευόντων σο[ι], ⁝ καθηγούμενον τῆς νυκτός, ⁝ ὅ[τι] ἐξορκίζω 〈σε〉 τοῖς μεγάλοις ὀνόμασίν σου, ἃ οὐ δύνα 〈ταί〉 σοι παρακοῦσαι οὔτε ἀέριος οὔτε ὑπόγειος μεσουρφαβαβορ: βραλ ιηω: Ἶσι η: πρόσελθέ μοι, καθὼς ἐπικέκλημαί σε· Ὀρθὼ Βαυβὼ νοηρε· κοδηρε σοιρε σοιρε Ἐρεσχιγάλ: σανκιστη δωδεκακιστη ἀκρουροβόρε: κοδηρε: σαμψει: ἄκουσόν μου τῶν λόγων καὶ ἔκπεμψόν σου τὸν ἄγγελον τὸν ἐπὶ τῆς α′ ὥρας διατάσσοντα, Μενεβαιν, καὶ τὸν ἐπὶ τῆς β′ ὥρας, Νεβουν, καὶ τὸν ἐπὶ τῆς γ′ ὥρας, Λημνει, καὶ τὸν ἐπὶ τῆς δ′ ὥρας Μορμοθ, καὶ τὸν ἐπὶ τῆς ε′ ὥρας, Νουφιηρ, καὶ τὸν ἐπὶ τῆς ϛ′ ὥρας, Χορβορβαθ, καὶ τὸν ἐπὶ τῆς ζ′ ὥρας, Ὁρβεηθ, καὶ τὸν ἐπὶ τῆς η′ ὥρας, Πανμωθ, καὶ τὸν ἐπὶ τῆς θ′ ὥρας, Θυμενφρι, καὶ τὸν ἐπὶ τῆς ι′ ὥρας, Σαρνοχοι[β]αλ, καὶ τὸν ἐπὶ τῆς ια′ ὥρας, Βαθιαβηλ, καὶ τὸν ἐπὶ τῆς ιβ′ ὥρας, Ἀβραθιαβρι, ἵνα μοι ποιήσῃς τόδε· ἄξῃς, [δ]αμάσῃς ἐν τῇ σήμερον ἡμέρᾳ, ἐν τῇ σήμερον νυκτί, καὶ μὴ δυνηθῇ ἡ δεῖνα (ἢ ὁ δεῖνα) ἐπιτυχεῖν, ἕως ἐλθοῦσα πρὸς ἐμέ, τὸν δεῖνα, 〈διαμείνῃ〉 πληροφοροῦσα, ἀγαπῶσα, στέργουσα ἐμέ, τὸν δεῖνα, καὶ μὴ δυνασθῇ ἄλλῳ ἀνδρὶ συνμιγῆναι, εἰ μὴ ἐμοὶ μόνῳ. [910]

7 (900) ‘ πολλάκις δὲ δίωκε τὸν λόγον, καὶ ἄξει καὶ καταδεσμεύσει, καὶ ἐρασθήσεταί σου εἰς τὸν τῆς ζωῆς χρόνον. ὅταν δὲ ἄξῃς καὶ συνγένηταί σοι, τότε ἄρας ἀπόθου τὴν θεάν, οὐσίαν αὐτῇ δούς, καὶ ἡλίῳ μὴ δείξῃς, καὶ οὐ καταπαύσεται ἐρχομένη, ἐρῶσα. ἐπὶ δὲ ὀνειροπομποῦ ὡσαύτως ποιήσεις, ἕως οὗ ἀπαρτίσῃς, ἃ βούλῃ. ἔστιν δὲ ἰσχυρὰ ἡ δύναμις. ὑπόκειται τὸ ζῴδιον. Νικητικὸν θαυμαστὸν τοῦ Ἑρμο ῦ , ὃ ἔχε ἐν τοῖς πεδίλοις. λαβὼν λεπίδα ἡλιακὴν γράψον χαλκῷ γραφείῳ καὶ περίθου, ᾧ ἂν βούλῃ, καὶ ὅρα, τί ποιεῖ πλοίῳ, ἵππῳ, καὶ ἐκπλαγήσει. εἰσὶν δὲ οἱ χαρακτῆρες· ‘ [Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character] Θωούθ, δὸς νίκην, ἰσχύν, δύναμιν τῷ φοροῦντι‘. Ἄλλ ο , καὶ ὑποτακτικό ν . λαβὼν λεπίδα μολιβῆν ἀπὸ ζυγοῦ μούλων καὶ γράψον χαλκῷ γραφείῳ τὰ ὑποκείμενα ὀνόματα καὶ τοὺς χαρακτῆρας καὶ θὲς ὑπὸ τὸ πέλμα σου τοῦ εὐωνύμου ποδὸς λιβανωτίσας ἐπιμελῶς. εἰσὶν δέ· [Magical Character] Ρ [Magical Character] ⋇ [Magical Character] [Magical Character] νολεανουν [Magical Character] Γ εβρεβα [Magical Character] ολοθιερον Ο Π δενδενξουν ϛ Ζ τουβαντωνι κάτεχε [Magical Character] τὴν ὀργὴν τοῦ δεῖνα καὶ πάντων τὸν θυμὸν καὶ τάς γλώσσας, ἵνα [Magical Character] [Magical Character] μὴ δυνηθῶσιν λαλεῖν τῷ δεῖνα. Ν Π [Magical Character] Ω [Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character] Θυμοκάτοχον καὶ ὑποτακτικόν · εἰς χάρτην καθαρὸν διὰ ζμυρνομέλανος καθαροῦ γράφε τὰ ὀνόματα ταῦτα σὺν τῇ στήλῃ· ϊωερβηθ ιωπακερβηθ ΐωερβη ωπακερβηθ ϊωερβ πακερβηθ ϊωερ ακερβηθ ϊωε κερβηθ ϊω ερβηθ ϊ ρβηθ βηθ ηθ θ ιωσεσεσρω ωσεσεσρω σεσεσρω ιωπημψ εσεσρω ωπημψ σεσρω πημψ εσρω ημψ σρω μψ ρω ψ ω ‘Δεῦρό μοι, ὁ ἐν τῷ στερεῷ πνεύματι, ἀόρατος, παντοκράτωρ, κτίστης τῶν θεῶν· δεῦρό μοι, ὁ ἀκαταμάχητος δαίμων. [960]

7 (950) δεῦρό μοι, ὁ τὸν ἴδιον ἀδελφὸν μὴ λ[υ]πήσας, Σήθ· δεῦρό μοι, πυριλαμπὲς πνεῦμα· δεῦρό μοι, ὁ ἀκαταφρόνητος θεός, δαίμων, καὶ φίμωσον, ὑπόταξον, καταδούλωσον τὸν δεῖνα τῷ δεῖνα καὶ ποίησον αὐτόν, ὑπὸ τοὺς πόδας μοι ἔλθῃ‘. Πότισμα καλόν · λαβὼν χαρτίον ἱερατικὸν ἐπίγραφε· ‘Ιάω ω εσταβισαση τουρεωσαν αθιαχνιωουηνου αχημαχου. φιλείτω με ἡ δεῖνα τῆς δεῖνα ἐμέ, τὸν δεῖνα, πιοῦσα τὸ ποτόν.‘ Ἀγώγιμον παράψιμο ν . λαβὼν κάνθαρον ἡλιακὸν ζέσον μύρῳ

καλῷ καὶ λαβὼν τὸν κάνθαρον τρίψον μετὰ κατανάγκης βοτάνης καὶ βάλε εἰς βησίον ὑελοῦν καὶ λέγε τὸν λόγον τὸν ὑποκείμενον β′· ‘θωβαρραβαυ, Μιχαὴλ Μιχαήλ· Οὔσιρι φορ· φορβα, Ἀβριήλ· σεσεγγεν βαρφαραγγης, Ἰάω, Σαβαώθ, Ἀδωναῖε, Λαΐλαμ, ἐπαναγκάσατε τὴν δεῖνα τῆ[ς] δεῖνα, ἐὰν ἅψαιμι, ἐπακολουθῆσαι‘. [Ἀ ]γώ [ γιμο ν . ἀπὸ πάντων σαυτὸν ἁγν]ίσας ἡμέρ[ας .... λέγε τὸν λό(γον) τοῦτο]ν σὺν ἀνατολῇ· ‘Ἥλιε ................ ε, ἀλλὰ δεῦρό μο[ι, κυρία Ἀκτιῶφι, Ἐρεσχιγὰ]λ Περσεφ[ό]νη· ἄγε [μοι καὶ κατάδησον τὴ]ν δεῖν’, ἣν δεῖνα, [εἰς] τὸν ἐπ’ ἔρ[ωτι αὐτῆς τηκόμενο]ν, τὸν ἄρτι [χρό-] νον, καῖ[ε ἐκπληρώσουσ]αν τοῦ δεῖνα, ὃν ἔτεκε δεῖνα, τὰ νυκτε[ρινὰ καταθύμια, ν]αί, κύριε Νεθμομαω [Ἥλιε· εἴσβηθι] τῆς δεῖνα, ἥ[ν] ἡ δεῖνα, ἐπὶ τὴν [ψυχὴν καὶ καῦσον τὴν καρ]δίαν, τὰ σπλάγ[χνα, τὸ ἧπαρ, τὸ πνεῦμα, τὰ ὀστᾶ. κ]αλῶς μο[ι τέλει ταύτην τὴν ἐπα]οιδήν, ἤδη, ἤδ[η, ταχύ, ταχύ‘. Προ σ ]βλέπ [ ων τὰ] ἀπηλιω[τικὰ μέρη λέγε· ‘σὺ εἶ ὁ βρο]ντῶν, ὁ βρέχων καὶ ἀστ[ράπτων κατὰ τὸν] καιρὸν καὶ καταξηρά[νας ὡσαύτως. δε]ῦρό μοι, χρημάτισον‘. κοινὰ ἢ ὅτι ἂν [θέλῃς γράφων, χ]εῖρα ὑπόχρισον. σκευ[ὴ μ]έλανος· [ἰσ]χάδα 〈σ〉 γ′, φοίνικος ὀστᾶ γ′ Νικολάου καὶ ἀρτεμισίας ἄγματα γ′ καὶ ζμύρνης χόν[δρ]ους γ′, [ὁμο]ῦ [ποίησον,] [εἶτα] λειώσας [ἐπίγραφε] τὸν ὑποκείμενον λόγον.

7 ἐπεῖπεν [αὐ-] [τὸν καὶ ἐ]νέγραψεν ἡ Ἶσις, ὅτε τὸν Ὄσιρι[ν] ὑπολα[βοῦσα τὰ] μέλη μελισθέντα συνήρ[μο]ζεν· ὁ Ἀσκλη[πιὸς ἰδὼν α]ὐτὸν ἐξ 〈ωμ〉 ολόγησεν μὴ σὺν Ἥβῃ ἤ τι[νι ἄλλῳ συναρμόσαι] τ[ὸν] θα[νόντα. ἔστι δὲ] [ὁ λόγος· ‘δεῦρό μοι, σεσε]γγ[ενβαρφαραγγης Σα]βα[ώθ· ἐξορκίζω] γάρ σε, νεκύ[δαιμον, κατὰ τῆς π-] [ι]κρᾶς [Ἀνάγ]κης· ἄνοιξ[όν σου τὰ ὦτα καὶ τῶν] ἱερῶ[ν λόγων ἄ]κουσον‘. καὶ λέ[γε πολλάκις τ]ὴν ὑπο[κειμένην στή]λην. Ὀνε [ ιρομαν τ ]εῖ [ ον · ἐπ]ίλεγε ἐπὶ τὴ[ν ...... δ]ίπτυχον ἐπι ... καὶ τρίψον σου τὴν κ[εφαλὴν καὶ κατ]αβὰ 〈σ〉 κοιμῶ μηδενὶ [δ]οὺς ἀπόκρισιν. ‘ἐπικα[λοῦμαί σε, Σαβ]αὼθ καὶ Μιχαὴλ καὶ Ῥαφαὴλ καὶ σέ, δυ[νατὲ ἀρχάγγε]λε Γαβριήλ· μὴ ἁ[πλῶς] με παρέλ 〈θ〉 ατε, φαν[τάσματα ἄγοντ]ες, ἀλλὰ εἷς ἐξ ὑμῶν εἰσερχέσθω καὶ χρημ[ατισάτω μοι π]ερὶ τοῦ δεῖνα πράγμα[τος α]ιαι αχηνη Ἰάω‘. ταῦτα γρά[φε εἰς φύλλα .. ] δάφνης καὶ τίθ[ει πρ]ὸς κεφαλήν. [‘ Χαῖρε Ἥλι ε , χ]αῖρε Ἥλιε, χαῖρε Γα[βριήλ, χαῖρε] [Ῥαφαήλ, χαῖρ]ε Μιχαήλ, χαῖρε σύμ[παντα· δός μοι] τὴ[ν ἐξουσίαν] καὶ τὴν δύναμιν τοῦ Σαβ[α]ώ[θ, τὸ] κρ[άτος τοῦ Ἰάω κ]αὶ τὴν ἐπιτυχίαν τοῦ Ἀβλαναθα[ναλβα] κα[ὶ τὴν ἰσχὺν τοῦ Ἀ]κρα[μ]μαχα[μ]αρεί· δός μοι τὴν νίκην προ[σ]κτ[ήσασθαι], ὡς ἐκάλ[εσά] σε‘. εἶτα σὺ γράψον 〈γράμματα〉 νθ′, ἰαεω— λόγον. ‘δὸς [νίκην, ὅ]τι οἶδα τὰ ὀνόματα τοῦ Ἀγαθοῦ Δαίμονος· Ἁρπο[ν] χν[ουφι βρ]ιντατη[ν] ωφριβρισαρουαζαρβασεν κριφ[ινιπιουμιχμου]μαωφι‘ (κοινά) ‘καὶ τέλεσόν μοι τοῦτο‘. λάλει μ[ηδενί]. Φιλτροκατάδεσμος Ἀστραψοίκο υ .

8 λόγος. ‘ἐλ[θ]έ μοι, κύριε Ἑρμῆ, ὡς τὰ βρέφη εἰς τὰ 〈σ〉 κοιλίας τῶν γυναι[κ]ῶν. ἐλθέ μοι, κύριε Ἑρμῆ, συνάγων τὰς τροφὰς τῶν θεῶν καὶ ἀνθρώπων, 〈ἐλθ〉 έ μοι, τῷ δεῖνα, κύριε Ἑρμῆ, καὶ δός μοι χάριν, τροφήν, νίκην, εὐημερίαν, ἐπαφροδισίαν, προσώ 〈π〉 ου εἶδος, ἀλκὴν ἁπάντων καὶ πασῶν. ὀνόματά σοι ἐν οὐρανῷ· ‘Λαμφθεν Οὐωθι: Ο[ὐ]ασθεν Οὐωθι: Ὀαμενώθ: Ἐνθομουχ:‘ ταῦτά εἰσιν τὰ ἐν ταῖ 〈σ〉 δ′ γωνίαις τοῦ οὐρανοῦ 〈ὀνόματα〉 . οἶδά σου καὶ τὰς μορφάς, αἵ εἰσι· ἐν τῷ ἀπηλιώτῃ μορφὴν ἔχεις ἴβεως, ἐν τῷ λιβὶ μορφὴν ἔχεις κυνοκεφάλου, ἐν τῷ βορέᾳ μορφὴν ἔχεις ὄφεως, ἐν δὲ τῷ νότῳ μορφὴν ἔχεις λύκου. ἡ βοτάνη σου ηλολλα: ετεβεν θωητ: οἶδά σου καὶ τὸ ξύλον· τὸ ἐβεννίνου. οἶδά σε, Ἑρμῆ, τίς εἶ καὶ πόθεν εἶ, καὶ τίς ἡ πόλις σου· Ἑρμούπολις. ἐλθέ μοι, κύρι’ Ἑρμῆ, πολυώνυμε, εἰδὼς τὰ κρύφιμα τὰ ὑπὸ τὸν πόλον καὶ τὴν γῆν. ἐλθέ 〈μοι〉 , κύρι’ Ἑρμῆ, τῷ δεῖνα, εὐεργέτησον, ἀγαθοποιὲ τῆς οἰκουμένης. ἐπάκουσόν [μ]ου καὶ χάρισόν με πρὸς πάντα τὰ κατὰ τὴν γῆν οἰκουμένην εἴδη. ἀνοίξας μοι τὰς χεῖρας πάντων συνδω 〈ροδο〉 κο 〈ύν〉 των, ἐπανάγκασον αὐτοὺς δοῦναί μοι, ἃ ἔχουσιν ἐν ταῖς χερσίν. οἶδά σου καὶ τὰ βαρβαρικὰ ὀνόματα· ‘Φαρναθαρ: Βαραχήλ: Χθα:‘ ταῦτά σοί ἐστιν τὰ βαρβαρικὰ ὀνόματα. Ἐὰν ἐπεκαλέσατό σε Ἶσις, μεγίστη τῶν θεῶν ἁπάντων, ἐν πάσῃ κρίσει, ἐν πα 〈ν〉 τὶ τόπῳ πρὸς θεοὺς καὶ ἀνθρώπους καὶ δαίμονας καὶ ἔν 〈υ〉 δρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζῷα καὶ ἐπί 〈γ〉 εια καὶ ἔσχεν τὴν χάριν, τὸ νῖκος πρὸς θεοὺς καὶ ἀνθρώπους κ[α]ὶ 〈παρὰ〉 πᾶσι τοῖς ὑπὸ τὸν κόσμον ζῴοις, οὕτως κἀγώ, ὁ δεῖνα, ἐπικα[λ]οῦμαί σε. διὸ δός μοι τὴ 〈ν〉 χάριν, μορφήν, κάλλος· ἐπάκουσόν μου, Ἑρμῆ, εὐεργέτα, φαρμάκων 〈εὑρετά〉 , εὐδιάλεκτος γενοῦ καὶ ἐπάκουσον, καθὼς ἐποίησα 〈σ〉 πάντα τῷ Αἰθιοπικῷ κυνοκεφάλῳ σου, τῷ κυρίῳ τῶν χ 〈θ〉 ονίων. πράϋνε πάντας καὶ δός μοι ἀλκήν, μορφήν (κοινόν), καὶ δότωσάν μοι χρυσὸν καὶ ἄργυρον καὶ τροφὴν πᾶσαν ἀδιάλειπτον. διάσωσόν με πάντοτε εἰς τὸν αἰῶνα ἀπὸ φαρμάκων καὶ δολίων καὶ βασκοσύνης πάσης καὶ γλωττῶν πονηρῶν, ἀπὸ πάσης συνοχῆς, ἀπὸ παντὸς μίσους θ[ε]ῶν τε καὶ ἀνθρώπων. δότωσάν μοι χάριν καὶ νίκην καὶ πρᾶξιν καὶ εὐπορίαν. σὺ γὰρ ἐγὼ καὶ ἐγὼ σύ, τὸ σὸν ὄνομα ἐμὸν καὶ τὸ ἐμὸν σόν· ἐγὼ γάρ εἰμι τὸ εἴδωλόν σου. ἐπάν τί μοι συββῇ τούτῳ τῷ ἐνιαυτῷ ἢ τούτῳ τῷ μην 〈ὶ〉 ἢ ταύτῃ τῇ ἡμέρᾳ ἢ ταύτῃ τῇ ὥρᾳ, συββήσεται τῷ μεγάλῳ θεῷ Αχχεμεν: εστροφ: τῷ ἐπεγραμμένῳ ἐπὶ τῆς πρώρης τοῦ ἱεροῦ πλοίου. τὸ δὲ ἀληθινὸν ὄνομά σου 〈ἐπ〉 εγραμμένον 〈ἐστὶ〉 τῇ ἱερᾷ στήλῃ ἐν τῷ ἀδύτῳ ἐν Ἑρμουπόλει, οὗ ἐστιν ἡ γένεσίς σου. ὄνομά σου ἀληθινόν· Οσεργαριαχ: νομαφι: τοῦτό ἐστίν σου τὸ ὄνομα τὸ πεντεκαιδεκαγράμματον ἔχον ἀριθμὸν γραμμάτων πρὸς τὰς ἡμέρας τῆς ἀνατολῆς τῆς σελήνης, τὸ δὲ δεύτερο 〈ν〉 ὄνομα ἔχον ἀριθμὸν ζʹ τῶν κυριευόντων τοῦ κόσμου, τὴ 〈ν〉 ψῆφον ἔχον τξεʹ πρὸς τὰς ἡμέρας τοῦ ἐνιαυτοῦ. ἀληθῶς· Ἀβρασάξ. οἶδά σε, Ἑρμῆ, καὶ σὺ ἐμέ. ἐγώ εἰ 〈μι〉 σὺ καὶ σὺ ἐγώ. [45]

8 (50) καὶ πρᾶξόν μοι πάντα καὶ συνρέπ 〈ο〉 ις σὺν Ἀγαθῇ Τύχῃ καὶ Ἀγαθῷ Δαίμονι, ἤδη, ἤδη, ταχύ, ταχύ.ʻ Λαβὼν ξύλον ἐλάϊνον ποίησον κυνοκε 〈φά〉 λιον καθήμενον, ἔχοντα τὴν τοῦ Ἑρμοῦ περικεφαλαίαν πτερωτὴν καὶ ἐκ τοῦ νώτου γλωσσόκομον καὶ ἐπίγραφε τὸ ὄνομα τοῦ Ἑρμοῦ εἰς χάρτην καὶ ἐπι 〈τί〉 θει εἰς τὸ γλωσ 〈σ〉 όκομον. γράφε ζμύρνῃ ἐπευξάμενος, ὃ ποιεῖς ἢ ὃ θέλεις, καὶ πωμάσας ἐπίθυε λιβανωτὸν καὶ τίθει, ὅπου θέλεις ἐν ἐργαστηρίῳ μέσον. ἔστι δὲ τὸ ὄνομα τὸ γραφόμενον· ʻφθορον, φθιονη Θωύθ:ʻ προσέτι γράφε καὶ τὰ μεγάλα ὀνόματα ταῦτα· ʻʼΙάω: Σαβαώθ: Ἀδωναῖε ἀβλα 〈να〉 θαναλβα ἀκραμμαχαμαρει, τξεʹ, δὸς τῷ ἐργαστηρίῳ τὴν πρᾶξιν, τὴν χάριν, τὴν εὐπορί 〈α〉 ν, ἐπαφροδισίαν, αὐτῷ τῷ δεῖνα καὶ τῷ ἐργαστηρίῳ, ἤδη, ἤδη, ταχύ, ταχύ.ʻ Ὀνειραιτητὸν τοῦ Βησᾶ · οὕτω ζωγράφησον εἰς τὴν εὐώνυμόν σου χεῖραν τὸν Βησᾶν, ὡς ὑποδείκνυταί σοι, καὶ περίβαλε τὴν χεῖρά σου μέλανι ῥάκκει Ἰσιακῷ καὶ κοιμῶ μηδενὶ δοὺς ἀπόκρισιν, ἑλίξας τὸ ὑπόλοιπον τοῦ ῥάκους περὶ τὸν τράχηλόν σου. ἔστι δὲ τὸ μέλα[ν], ἐν ᾧ γράφεις· αἷμα κορώνης, αἷμα περιστερᾶς λευκῆς, λίβανος ἄτμητος καὶ ζμύρνα καὶ μέλαν γραφικ[ὸ]ν καὶ κιννάβαρις καὶ ὀπὸς συκαμίνου καὶ ὕδωρ ὄμβριον καὶ χυλὸς ἀρτεμι 〈σί〉 ας μονοκλώνου καὶ κατανάγκης. ἐν τούτῳ γράφε. ἐξήγησις αὐτοῦ πρὸ 〈σ〉 ἥλιον δύνοντα· ʻʼΑεροφοιτάτων ἀνέμων ἐποχούμενος αὔραις, Ἥλιε χρυσοκόμα, διέπων φλογὸς ἀκάματον φῶς, αἰθερίαις τροπαῖς μέγαν πόλον ἀμφὶς ἐλάων, γεν 〈ν〉 ῶν αὐτὸς ἅπα 〈ν〉 τα, ἅπερ πάλιν ἐξαναλύεις· ἐξ οὗ γὰρ πέφυκε στοιχεῖα τεταγμένα σοῖσι νόμοισι, κόσμον ἅπαν 〈τα〉 τρέπουσι τετράτροπον εἰς ἐνιαυτόν. ἢν γαίης κευθμῶνα μόλῃς, νεκύων ἐνὶ χώρῳ, πέμψον μάντιν ἐξ ἀδύτων τὸν ἀληθέα, λίτομαί σε λαμψουηρ: σουμαρτα: βαριβας: δαρδαλαμ: [φ]ορβηξ, κύριε, ἔκπεμψον τὸν ἱερὸν δαίμονα Ἀνούθ: Ἀνούθ: σαλβανα χαμβρη: βρηιθ: ἤδη, ἤδη, ταχύ, ταχύ· ἐν τῇ νυκτὶ ταύτῃ ἐλθέʻ. ἐὰν θέλῃς καὶ αὔτοπτον αὐτὸν καλέσαι, [λαβ]ὲ βύ[σσινο]ν ῥάκος καὶ βρέξας εἰς σησάμινον ἔλαιον [μετ]ὰ κι[ννα-] βάρεως λειώσας καὶ ἐνλυχνιάσας λύχνον [ἀ]μίλ[τωτ]ον καιέσθω σησαμίνῳ ἐλαίῳ τὸ λύχνον καὶ θὲς ἄν[τικρ]ύς σου λέγων τὸν λόγον, καὶ ἐλεύσεται πρὸς σέ. ἔχε ἔγγιστά σου πινακίδα, ἵνα ὅσα λέγει γράψῃς, ἵνα μὴ κοιμη[θ]εὶς ληθαργήσῃς. ʻἐπικαλοῦμαί σε, τὸν ἀκέφαλον θεόν, σοῖς παρὰ τοῖ 〈σ〉 ποσὶν ἔχοντα τὴν ὅρασιν, τὸν ἀστράπτοντα καὶ βροντάζοντα. σὺ εἶ, οὗ τὸ στόμα διὰ παντὸς πυρὸς γέμει, ὁ ἐπὶ τῆς Ἀνάγκης τεταγμένος. ἐπικαλοῦμαί σε, τὸν ἐπὶ τῆς Ἀνάγκης τεταγμένον θεὸν Ἰαεω· Σαβαώθ: Ἀδωναί: Ζαβαρβαθιάω: σὺ εἶ ὁ ἐπὶ τῇ ζ 〈μ〉 υρνίνῃ σορῷ κατακείμενος, ἔχων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπαγ ⟨κ⟩ ώνιον ῥητίνην καὶ ἄσφαλτον, ὃν λέγουσιν· Ἀνούθ: Ἀνούθ: ἀνάστα, δαίμων· οὐκ εἶ δαίμων, ἀλλὰ τὸ αἷμα τῶ ⟨ν⟩ δύο ἱεράκων τῶν πρὸς κεφαλῆς τοῦ Ὀσίρεως λαλούντων καὶ ἀγρυπνούντων.

8 σὺ εἶ ὁ χρησμῳδὸς θεὸς Σαλβαναχαμβρη: Ἀνούθ: Ἀνούθ: Σαβαώθ: Ἀδωναί: ιη ιε ιη ιε (κοινόν).‘ κοιμῶ δὲ ἐπὶ θρυΐνη ⟨σ⟩ ψιάθου ἔχων πρὸ ⟨σ⟩ κεφαλῆς σου πλίνθον ὠμήν. ἔστιν δὲ ὃ γράφεις, τοιοῦτο· ἄνθρωπος γυμνός, ἑστώς, ἔχων βασίλειον ἐπὶ τῆς κεφαλῆς, ἐν δὲ τῇ δεξιᾷ χειρὶ ξίφος καμπῇ ἐπὶ τὸν τράχηλον κείμενον καὶ ἐν τῇ εὐωνύμῳ ῥάβδον. ἐὰν δὲ χρηματίσῃ σοι, ῥοδίνῳ μύρῳ ἀπάλειψόν σου τὴν χεῖραν. ἔστι δὲ ζῴδιον τῆς πράξεως· ‘Θυμοῦ σε παύσω καί σε πραΰνω χολῆς.

9 ἐλθέ, κύριε Βαινχωωωχ, σὺν τῷ πατρί σου Ἀνιβαινχωωωχ, σὺν τῇ μητρί σου Χεχφιω, σὺν τοῖς δυσὶ δορυφόροις Χενγηβιωχθω: μυσαγωθ: εχε ωω μυσαγωθ: αχφιφιω: Ἰαια ωχ: σεβαυ Φρῆ, Ἰώ, ῥηξίχθων: υωηω αεαεηιουω: χυχβαχυχ βαυαχυχ βακαξιχυχ βαζαβαχυχ μενεβαχυχ βαδηδοφω Βαϊνχωωωχ: καθυπόταξον, φίμωσον, καταδούλωσον πᾶν γένος ἀνθρώπων, ἀρρένων τε καὶ θηλυκῶν, παντοίων θυμῶν, τοὺς ὑπὸ τὴν κτίσιν ὑπὸ τοὺς πόδας τοῦ δεῖνα, μάλιστα τόνδε (κοινά, ὡς θέλεις)· [ὑ]φιεῖ[ς] γὰρ ὑπὸ τοὺς πόδας μου, ὡς περιβόλαιόν μου, τὴν καρδί[α]ν τοῦ Σαβαώθ.‘ ἐπὶ δὲ ὄπιθεν τῆς λάμνης· ‘ευλαμω σισιρ[βα]βαιηρσεσι φερμου χνουωρ Ἀβ ⟨ρ⟩ ασάξ· κατυπόταξον, καταδούλωσον, φίμωσον τὴν ψυχήν, τὸν θυμὸν ⟨τοῦ δεῖνα⟩ , ὅτι ἐξορκίζω σε κατὰ τῆς φρικτῆς Ἀνάγκης Μασκελλι Μασκελλω Φμουκενταβαωθ ὀρεοβαζάγρα ῥηξίχθων ἱππόχθων πυριπηγανυξ λεπεταν λεπεταν φνουνοβοη.‘ καὶ εἰς τὸ μέτωπον τὸ ὄνομα αὐτοῦ. πρόλογος τῇ ⟨σ⟩ πράξεως· ‘θυμοῦ σε πα ⟨ύ⟩ σω καί σε πραΰνω χολῆς. ἐλθὲ καὶ διακράτει σιγῇ σιγὴν φέρων τε πα ⟨ῦ⟩ σιν καὶ θυμοὺ ⟨σ⟩ στῆσον ψυχῶν πάντων ὀργάς τε πάσας σβέσον, φρένας ὁρκίσας, ὅτι ἐπικαλοῦμαι τὸ αὐθεντικόν σου ὄνομα, Βαινχωωωχ:‘ εἰπὲ δὲ τοῦτο τὸ ὄνομα ἐπάνω τοῦ πετάλου· ‘Ἰαωμορμοροτοκονβαι.‘ [Κατὰ πότιμο]ν καὶ βρώσιμον [λ]αβὼν [μερίδια τὰ] πρῶτα βάλλε ε[ἰς] παραψίδιον [ναοῦ λέγων] οὕτως· ‘ὁ δεῖνα, ἀπε[στ]αλμένος [μοι ἧς ὑπηρέ]της καὶ ἐπὶ τὰ π[α]ρὰ τοῦ θεοῦ [ἐπιδράμῃς] καὶ τελέσῃς.

10 τὸ [ὄ]νομά μοι· ωϊ [ ] Ἰάω Σαβαὼθ [Ζα]βαρβαθιάω [Ἀδωναί .... ], φιλείτω με ἡ [δεῖνα], τὸν δεῖνα, θεῖον [ἔρωτα κα]ὶ ἀνεξαλείπτ[ως.‘] [Λό]γος λεγόμενος· [‘ὁρκίζω σὲ κ]αὶ τὸ περί σε ἔχ[ο]ν πνεῦμα· [λέγει σοι ὁ μ]έγας καὶ ἰσχυρὸ[ς θε]ὸς Σαθις [πεφωουθ μου]ρωφ ‛ Ἀνουρ ουφ[ιριγχ]· ἡ δεῖνα, εὔστρε[πτος οὖσα ἐμο]ί, ἰδέ με καὶ ἰδοῦσ[α ἐρ]άσθητί μου, [δυνήσεται δ’ ο]ὐδεὶς ἀντιλέγει[ν] φθοροχηβ: αθα [ ]ν θαραμηχι· ε[ο]ψηριψου: αχορσωθια [ ]θιε η νουσου [φ]θαπα απουοροθ ‛ [ ]η χοαδουστρω πρωθιαψιωρ· [ ]ς χομαρχωχ ‛ χαναχουωρρ ` ηλουκουμφα‘. [ ἄλλως ὁ λόγος· ‘ἡ δεῖνά μ]ε ἰδοῦσα ἐρασθῇ μου, ἀντερίσῃ [δὲ μήποτ’ ἐμοί], ὁ μέγας καὶ ἰσχυρὸς θεός, δι’ ⟨αἰδ⟩ οῦσ‘. [ἰδὼν δὲ τὴν δεῖνα τρ]ὶς φύσημα ποίει μακρὸν εἰς αὐτὴν [ἀτενίζων, κ]αὶ προσγελᾷ αὐτὴ τότε. σημεῖον γὰρ τῆς [φιλίας ἐστὶ το]ῦτο. Θυμοκάτοχο ν , πρὸς πάντας ποιῶν· ποιεῖ γὰρ πρὸς ἐχθροὺς καὶ κατηγόρας καὶ λῃστὰς καὶ φόβους καὶ φαντασμοὺς ὀνείρων. λαβὼν λάμναν χρυσᾶν ἢ ἀργυρᾶν χάραξον ἐπ’ αὐτῆς τοὺς χαρακτῆρας καὶ τὰ ὀνόματα καὶ τελέσας φόρει καθαρίως. ἔστι δέ· αβλαναθαναλβα ακραμμαχαμαρει αι αη λαιλεμ ταεω ωαωαιιωαιι αιηιουωωυοιηεα Ἄλλως · ὑποτακτικὸν Ἀπόλλωνο ς . λαβὼν λάμναν ⟨ἢ πέταλον⟩ μολιβοῦν ἀπὸ ἡμιόνων γράφε τὰ ὑποκείμενα ὀνόματα καὶ βάλλε εἰς αὐτὸ γλῶσσαν βατράκου. λόγος, ὅταν κατατιθῆται τὸ πέταλον σὺν τῷ βαθράκῳ εἰς τὸ δεξιόν σου σανδάλιον· ‘ὡς ταῦτα τὰ ἅγια ὀνόματα πατεῖται, οὕτως καὶ ὁ δεῖνα (κοινόν), ὁ ἐπέχων.‘ Ἀβρασάξ ιωχχ αεηιουω χυχ ` Μιχαήλ νυσευ εηιουωα χυβαχυχ Ῥαφαήλ νυχιευ ηιουωαε βαχαχυχ ` Γαβριήλ αωχη ιουωαεη βακαξιχυχ ` Σουριήλ μεχευ ουωαεηι βαζαβαχυχ ` Ζαζιήλ Ἰάω υωαεηιο βαδητοφωθ ` Βαδακιήλ Σαβαώθ ’ ωαεηιου Βαϊνχωωωχ ` Συλιήλ ` Ἀδωναί [Magical Character]

Ἀβρασάξ [Magical Character] [Magical Character] Ζ [Magical Character] ὑπόταξόν μοι τὸν δεῖνα. [49]

10 (50) ἤδη, ἤδη, ταχύ, ταχύ. Γραῦς Ἀπολλων [ ί ο ]υ Τυανέως ὑπηρετίς · λαβὼν [Τυ]φῶ[ν]ος κρανίον κατάγρα[φε τ]οὺς χαρακτῆρας τούτους αἵματι κυνὸς μέλανος· ‘ [Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character] σαβερρα.

11a ‘ ἐλθὼν δὲ ἐπὶ τὸν τόπον παρὰ ποταμόν, θάλασσαν, ἢ τριόδου νυκτὸς μέσης θὲς τὸ κρανίον χαμαὶ καὶ ἱ[στ]ὰς [ὑπὸ τ]ῷ ἀριστερῷ ποδὶ λέγε τά[δε]. λόγος· ‘Ἐριθυΐα Μερόπη [γ]εργιρω χηθιρα αναπερουχ .... λυρωφια γηγεθιρα λολυν γουγωγη αμβραχα βι .. αεβιλη μαριθαια μπρουχε Ἀβὴλ εθιραω απ .. ωχοριηλα μωρηθιρα φεχιρω ωσρι φοιρα αμερι ... φη . ουθηρα γαργεργιω τιθ[ε]μυμη μηραψηχιρ αωριλ· ἐλθέ, φάνηθι, ἡ θεὸς ἡ καλουμένη οἰκουρός.‘ ταῦτα εἰπὼν ὄψῃ γυναῖκαν ἐπ’ ὄνου καθιζο[μ]ένη 〈ν〉 , εὔμορφον λίαν 〈εἰσ〉 ὑπερβ[ολ]ήν, οὐράνιόν τι κάλλος ἔχουσα 〈ν〉 , ἀδιηγήτως ὡραίαν καὶ νέαν, ἣν ἰδὼν σὺ εὐθέως πρ[οσκ]ύνησον λέγων· ‘εὐχαριστῶ [σο]ι, κυρία, ὅτι μοι ἐφάνθης. ἄξιόν μέ σου [κρῖνο]ν, εὐμενὴς ἐμοὶ γενέσθω [ἡ ἁβ]ρότης σου, καὶ ποίησον, περὶ οὗ σοι χρ[ήσομαι].‘ ἐρεῖ δέ σοι ἡ θεός· ‘τίνος δ[ιάν]οιαν ἔχεις;‘ σὺ λέγε· ‘πα[ρά σού] μοι χρεία ἐστὶν εἰ[ς τὰς τοῦ] βίου ὑπηρεσίας.‘ ἡ δὲ εὐθέω[ς κα]ταβήσεται ἀπὸ τοῦ ὄνου κ[αὶ ἀπ]οδύσεται τὸ κάλλος καὶ ἔσται γραῦς. καὶ ἐρεῖ σοι ἡ γρα[ῦς]· ‘ἐγώ σοι ὑπηρετήσω καὶ παρ[εδρ]εύσω.‘ τοῦτο δέ σοι εἰπ[οῦ]σα, πάλιν θεὸς ἐνδεδύσ[ε]ται τὸ ἑαυτῆς κάλλος, ὅ[περ] ἐξεδύσατο, καὶ παραιτήσεται. σὺ δὲ λέγε τῇ θεῷ· ‘κυρία, [μ]ή! σαυτῇ χρήσομα[ι, ἕ]ως κατάσχω αὐτήν.‘ ἡ δὲ θεὸς ἀκούσ[ασα] εὐθέως προσελεύσεται [τ]ῇ γραΐδι καὶ λήμψεται αὐ[τῆς] τὸν γομφίον καὶ τοῦ ὄνου μύλη[ν κ]αὶ δίδωσί σοι ἀμφότε[ρα] καὶ ἐξ ἐκείνου ἀχωρίστω[ς σου] ἦται ἡ γραῦς, εἰ μὴ τάχα σὺ αὐτ[ὴν] θέλεις ἀπολῦσαι· ἀπὸ δὲ ἐκείνης τῆς ὥρας ἕξεις μ[εγάλ]ων ἀγαθῶν δωρεάν· πάντα γ[άρ σ]οι, ὅσα τῇ ψυχῇ ἐνθυμῇ, δι’ αὐτῆς καταπραχθήσ 〈ετα〉 ι, [καὶ] τάδε σοι φυλάξει καὶ ὡς μ[άλιστα] νοήσει σοι, ὅτι ποτ’ ἄν τις ἐνθυμῆται κατά σου. [αὐτὴ γ]ὰρ πάντα ἐρεῖ σοι καὶ οὐδέποτέ σε καταλείψει. οὕτως τὴν εἴς σε εὔνοιαν ἐντίθεται. ἐὰν δὲ θελήσῃς π[ο]τέ, ἀπολύσεις αὐτήν (ὅπερ μηδέποτε ποιήσῃς)· λαβὼν τὸν γομφίον καὶ τὴν μύλην καὶ πυρὰν ποιήσας ἀκόντισον εἰς τὸ πῦρ, καὶ ὀλολύξασ 〈α〉 ἡ γραῦς φεύξεται ὅλως. μὴ εὐκόλως αὐτὴν ἀπολύσῃς· ἀμετάληπτος γάρ σοι ἔσται. τὴν δὲ θεὸν ἀπολύσεις, ὅταν μάθῃς, [ὅπ]ως σοι ὑπηρετήσει ἡ γραῦς, λέγων οὕτως· ‘μενερφερ φιη πραχηρα λυλωρι μηλιχαρη νηχιρα.‘ ταῦτα ἀκούσασα ἡ γραῦς θεὸς ἀναβήσεται ἐπὶ τὸν ὄνον καὶ ἀπελεύσεται. φυλακτήριον παρὰ τὴν πρᾶξιν· τὸ κρανίον τοῦ ὄνου. τὴν δὲ μύλην τοῦ ὄνου δήσας ἀργύρῳ καὶ τὸν γομφίον τῆς γραΐδος χρυσῷ [π]ερίεχε ἀεί. οὕτως γάρ σου ἀχώριστος ἔσται ἡ γραῦς. ἡ πρᾶξις δεδοκίμασται. [Ἀνθρ]ώπους πίνοντα[ς] ἐν συμποσίῳ πρόσ[ωθεν] τοῖς ἔξωθεν ὀνορύγχους φαίνεσθαι . [40]

11b .... εβειβακοτος τὸ δρ . λλον ἀπὸ τοῦ λύθρου [αἵματι] ὀνείῳ αἱμάξαι καὶ ποιῆσαι ἐλλύχνι και[νὸν εἰς] λύχ 〈ν〉 ον καινὸν καὶ ἅψαι τοῖς πίνουσι. Τοῦτο γράφεις εἰς ἱερατικὸν βιβλίον καὶ θ[ὲς . [5]

11c [col2,13] .... ] ἐξορκίζω σε τὸν Ἰαβω θεόν· στρέψον τὴν καρδίαν τῆς δεῖνα, ἧς ἔτεκεν ἡ δεῖνα, πρὸς τὸν δεῖνα, ὃν ἔτεκεν ἡ δεῖνα, κατ’ ἐπιταγὴν τοῦ Ἰαβω, Μασκελλει Μασκελλω, Φ[α]ινουκενταβαω, ποίησον ἐπιτυχεῖν τῆς συνουσίας τὸν δεῖνα, ἐμέ, Ἀβλαναθαναλβα βλαθαναβα ναθανδα αναθανα ναβαναει αβθωωθ βαρβαχα Ἀβρασάξ αω[ιαμα]ρ[ι] σερφουθει ε ει ει η ι η ι ααααααα ιιιιιι θεὲ ὁ [ Βαρ-] βαραι, [ὑπ’ ἐμὸν] ὄροφ[ον ἐλθέτω ἡ] δεῖνα, ἣν [ἔτεκεν ἡ δεῖνα, καὶ] φιλ[είτω ἐμὲ τὸν δεῖνα, ὃν] ἔτε[κεν ἡ δεῖνα, εἰς] τὸν [ἅπαντα] χρό[νον τῆς] ζωῆ[ς αὐτῆς] ἐραμ[ένη μου] ἔρω[τι αἰωνίῳ] ἤδη [ἤδη, ταχὺ ταχύ]. Πρᾶξ [ ι ς·] ἔχων κτέρεα, ἀν[ελ]ίττων νυκ[τ]ός, κ[αὶ λαβ]ὼν ξίφο[ς λέγ]ε· ‘θερμοχ χθαβοι αχαφ μαρμιλυχα βερθιωχ χαρηλ[ .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

12 . ]βαιοχ[ .. ] θαχ δηρφο φιρβ[ . ]σωθωραι φαυξαι ιωα μειλιχ Ἰαβαί εια καρσε ρευθρα ενρουχ ζερφρηχ ψερφερχω θνερβηχ χαρχερβερ υειχ φχυαρ ’ πα[ . ]χα μιλχιθερ χληλωρ φαχιλερ μαζ μαχαιριωχ‘. ταῦτά σου [ε]ἰπόντ[ο]ς ἐλεύσεται Κόρη λαμπάδας ἔχουσα. σὺ λέγε· ‘φερθελιλωχ πειυ[ . ],‘ καὶ σβεσθήσονται αὐτῆ[ς] αἱ δ[ᾷ]δες, καὶ παραστήσεταί σοι λυπουμένη καὶ με[μ]φομένη. σὺ λέγε: ‘ποίησον τόδε, καὶ ἅψω σου τὰς λαμπάδας.‘ εἰ [δ]ὲ ὀνειροπομπεῖ, ἀνάψεις, καὶ πέτεται. ἂν ἐπὶ φόνον πέμπῃς, δὸς [α]ὐτῇ τὸ ξίφος, καὶ δ[ώ]σει σοι τὰς λαμπάδας καὶ ἐλεύσεται ᾑμαγμένον ἔχο[υσ]α τὸ ξίφος. σὺ εἰπὲ [α]ὐ[τῇ] προσκεῖσθαι τὰς λαμπάδας, καὶ ἀναφθήσονται, κ[α]ὶ φεύξεται. [π]οιῶν τάδε λέγε· ‘μωζηρφερ ταχχαψ.‘ φυλακτήριον οἴσε[ις] ἅψας δεξιᾷ [χ]ειρὶ κα[ὶ] ἀρι[σ]τερᾷ χειρὶ νυκτός. Π [ά ]ρεδρος Ἔρως · Ἔρωτος τελετή, καὶ ἀφιέρω[σ]ις καὶ κ[α]τασκευή· πο[ι]εῖ δὲ πράξε[ι]ς ταύτας καὶ ὀνει[ρο]πομπείαν, ἀγρυπνίαν ποιεῖ κ[α]ὶ διαλλάσσει κ[ακ]οδαίμο[νο]ς, [ἐ]ὰν ὀρθῶς αὐτῷ χρήσῃ κα[ὶ] ἁγνῶς. ἔστιν γὰρ ἔχων πᾶσαν πρᾶξιν. λαβὼν [κηρὸ]ν [τ]υρρηνικ[ὸ]ν μεῖξον αὐτῷ π[ᾶν] γένος ἀρωμάτων καὶ πο[ί]ησον Ἔρωτα δακτύλων [ὀκ]τὼ μῆκος λαμπαδηφόρο[ν,] ἔχοντα βά[σ]ιν μακράν, ἔκδεξ[ι]ν [τ]ῶνδε. [ἡ δ’ ἀριστε]ρὰ χεὶρ κρατείτω τόξο[ν] καὶ βέλος. καὶ Ψυχὴν τέλεσον ταὐτὸν ὡς Ἔρωτα. π[άντα ταῦτ]α ἀποτ[ε]λέσας ἀφιέρωσον ἡμέρας γ′. παραθήσεις δὲ αὐ[τῷ] παντοῖα γένη καρ[πῶν νέω]ν πόπ[α]νά τε ζ′, στροβ[ί]λους ζ′, τραγημάτων πᾶν γ[έ]νος, λύχνους ἀμιλτώ[τους ζ′] καὶ [τρί]α μικρὰ δίπα[λ-] τα, πινακίδας, τόξα, μῆλα φο[ι]νίκια, κρατῆρα κεκρ[α]μένον ο[ἰ]ν[ο]μέλιτι. εἶτα τα[ῦτ]α ποιήσας καὶ παραθείς, ὡς ὑ[π]όκειται, ποιήσεις τὸν Ἔρωτα ἐπὶ τρ[α]πέζης πανκάρπου ἐχούσης τοὺς ζ′ λύχνους καιομένους λευκῷ ἐλαίῳ καὶ ὅσα προσγέγραπται, ὥστε πείθειν τὸν θαυμαστὸν Ἔρωτα. πρώτῃ μὲν ἡμέρᾳ ἐπιθέντος σου αὐτὸν ἐπὶ τὴν τράπεζαν καὶ κοσμήσαντος, ὡς προγέγραπται—γράφω δέ σοι κατ’ εἰδὸς ἀφθόνως, ἵν’ εἰδῇς καὶ μηδὲν ἐπιζητῇς—ποίησον βωμὸν καθαρόν—τοῦτ’ ἔστιν, πλίνθους ὠμὰς δύο λαβὼν ποίησον κέρατα δ′, ἐφ’ οἷς [ἐπ]ι[τί]θης ξύλα κάρπιμα— καὶ λαβὼν τῇ πρώτῃ ἡμέρᾳ ἀπόπνιξον ζῷα ζ′· ἕνα ἀλε[κτ]ρυόνα, ὄρτυγα, βασίλισκον, περιστεράν, τρυγόνα καὶ τὰ ἐνπεσόντα σοι [νε]οσσὰ δύο. ταῦτα δὲ πάντα μὴ θύε, ἀλλὰ κατέχων εἰς τὴν χεῖραν ἀποπ[νίξ]εις ἅμα προσφέρων τῷ Ἔρωτι, μέ[χ]ρις οὗ ἕκαστον τῶν ζῴων ἀποπνιγῇ καὶ τ[ὸ] πν[εῦ]μα αὐτῶν εἰς α[ὐ-] τὸν ἔλθῃ, καὶ τότε ἐπιτίθει εἰς τὸν βωμὸν τὰ ἀπο[πνι]γ[έν]τα [σ]ὺν ἀρώμασιν πα[ν-] τοίοις. τῇ δὲ δευτέρᾳ ἡμέρᾳ νοσσάκιον ἀρρενικὸν π[ρὸ]ς τὸν Ἔρωτα ἀπόπνιγε καὶ ὁλοκα[ύσ]τει, τῇ δὲ γ′ ἡμέρᾳ ἕτερον νοσσάκιον βω[μ]ῷ εἰσ[θές]. ποιῶν τὴν τελετὴν κατάφαγε τὸν νεοσσὸν μόνος, ἄλλος δὲ μηδεὶς συν[έστω. ταῦ]τ’ οὖν ποιήσας ἁγνῶς καὶ καθαρῶς, ἁπάντων ἐπιτεύξῃ. λό[γος πρῶτ]ος λεγόμενος σὺν τῇ θυσίᾳ· ‘Ἐπικαλοῦμαί σε, [τ]ὸν ἐν τῇ καλῇ κοίτῃ, τ[ὸν] ἐν τῷ ποθεινῷ οἴκῳ· διακόνησόν μοι καὶ ἀ[π]άγγειλον ἀεί, ὅτι ἄν σοι εἴπω, καὶ ὅπο[υ ἂν] ἀποστέλλω, παρομοιούμενος θεῷ (ἢ [θ]εᾷ), οἵῳ ἂν σέβωνται οἱ ἄνδρες καὶ αἱ γυναῖ[κ]ες, λέγων πάντα τὰ ὑπογραφόμενα ἢ λεγόμενα καὶ παρατιθέμενά σοι ταχύ. [ἔ]φθασε τὸ πῦρ ἐπὶ τὰ εἴδωλα τὰ μέγιστα, καὶ κατέπιεν ὁ οὐρανὸς τὸν κύκλον μὴ [γ]ινώσκων τοῦ ἁγίου κανθάρου λε[γο]μένου Φωρει. κάνθαρος, ὁ πτεροφυὴς μεσουρανῶν τύρραννος, ἀπεκεφαλίσθη, ἐμελίσθη, τὸ μέγιστον καὶ ἔνδοξον α[ὐ]τοῦ κα[τ]εχρει 〈ώ〉 σατο, καὶ δεσπότην τοῦ οὐρανοῦ συνκατακλείσαντες ἤλλαξαν· ὣς σὺ διακονήσεις μοι, πρὸς οὓς θέλω ἄνδρας καὶ γυναῖκας. ἧκέ μοι, ὁ δεσπότη[ς] τοῦ οὐρανοῦ, ἐπιλάμπων τῇ οἰκουμένῃ, διακόνησόν μοι εἴτε πρὸς ἄνδρας καὶ γυναῖκας, μικρούς τε καὶ μεγάλους, καὶ ἐπαναγκάσῃς ἀεὶ αὐτοὺς ποιεῖν πάντα τὰ [γ]εγραμμένα ὑπ’ ἐμοῦ. [45]

12 (50) ἧκέ μοι, ὁ δεσπότης τῶν μορφῶν, καὶ διέγειρόν μοι ἄνδ[ρ]ας καὶ γυναῖκας, ἀνάγκασον αὐτοὺς ποιῆσαι τῇ σ 〈ῇ〉 ἀεὶ ἰσχυρᾷ καὶ κρατ 〈αι〉 ᾷ δυνά[μει] πάντα τὰ ὑπ’ ἐμοῦ γραφόμενά τε καὶ λεγόμενα: εισαφσαντα φουρει αρναι· συσυν φρεω ριωβαιοσοι σὺ εἶ ατεφθο αωρελ Ἀδωναί, καὶ ποίησον αὐτοὺς ἐνφόβους, ἐντρόμους, ἐπτοημένους, τὰς φρένας ἐνοχλ[ήσ]ας διὰ τὸν φόβον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σου, καὶ ποίει τῷ δεῖνα ἅπαντα τὰ προγεγραμμένα. ἐὰν δέ μου παρακούσῃς, κα[τα]καήσεται ὁ κύκλος, κ[α]ὶ σκότος ἔσται καθ’ ὅλην τὴν οἰκουμένην, καὶ ὁ κάνθαρος κ[ατα]βήσεται, ἕως ποιήσε[ι]ς μ[ο]ι π[ά]ν[τ]α, ὅσα γράφω ἢ λέγω, ἀπαραβάτως· ἤδη ἤδη, ταχὺ [τ]α[χ]ύ.‘ [λόγος] δεύτερος, λεγόμενο[ς] ἐπὶ [τ]ῆς θυσίας· ‘ἐξορκίζω σε κατὰ τοῦ κατέχοντος τὸν κ[ό]σμ[ο]ν καὶ ποιήσαντ[ο]ς τὰ τέσσαρα θεμέλια καὶ μίξαντος τοὺς δʹ ἀνέμους. σὺ εἶ [ὁ ἀσ]τράπτων, σὺ εἶ ὁ βρον[τ]ῶν, σ[ὺ] εἶ ὁ σείων, σ[ὺ] εἶ ὁ πάντα στρέψας καὶ ἐπανορθώσας [π]άλιν. ποίησον στρέφεσθ[αι πάντ]ας ἀνθρώπους τε καὶ πάσας γυναῖκας ἐπὶ [ἔ]ρωτά μου, τοῦ δεῖνα (ἢ τῆς δεῖνα), ἀφ’ ἧς ἂν παραι[τ]ῶ ὥρας ἐν τούτῳ τῷ παραφίμῳ, κατ’ ἐπιτα[γ]ὴν τοῦ ὑψίστου θεοῦ Ἰάω Ἀδωνεαὶ αβλα[ν]αθαναλβα· σὺ εἶ ὁ περιέχων τὰς Χάριτας ἐν τῇ κορυφῇ λαμψρη, σὺ εἶ ὁ ἔχων ἐν τῇ [δε]ξιᾷ τὴν Ἀνάγκην βελτεπιαχ, σὺ εἶ ὁ διαλύων καὶ δεσμεύων σεμεσιελαμπεκριφ· ἐπάκουσόν μου ἀπὸ τῆς σήμερον ἡμέρας καὶ εἰς τὸν ἅπαντα χρόνον.‘ λόγος γʹ ἐπὶ τῆς αὐτῆς θυσίας· ‘ἐπικαλοῦμαι ὑμᾶς, θεοὶ οὐράνιοι καὶ ἐπίγειοι καὶ ἀέρ 〈ι〉 οι καὶ ἐπιχθόνιοι, καὶ ἐξορκίζω κατὰ τοῦ κατέχοντος τὰ δʹ θεμέλια ἐπιτελέσαι μοι, τῷ δεῖνα (ἢ τῇ δεῖνα), τόδε πρᾶγμα καὶ δοῦναί μοι χάριν, ἡδυγλωσσίαν, ἐπ[αφ]ροδισίαν πρὸ[ς] πάντας ἀνθρώπους καὶ πάσας γυναῖκας τὰς ὑπὸ τὴν κτίσι[ν], ἵνα μοι ὦσι ὑποτεταγμένοι εἰς πάντα, ὅσα ἐ[ὰν] θέλω, ὅτι δοῦλός εἰμι τοῦ ὑψίστου θε[ο]ῦ [τ]οῦ κατέχοντο[ς] τὸν κόσμον καὶ παντοκρ[ά]τορος Μαρμαριὼθ λασιμιωληθ αραας . ς . Σηβαρβ[α]ώθ νοω αωι ωιηρ. (ἄρτυμα.) α[ααα]α ηηηηηη ωωωωωω. παραγγέλλ[ω τῷ] ἐπὶ τούτων 〈τῶν〉 τεταγμέ[νω]ν λεγομένῳ Ἔρωτι, ὅ[τ]ι 〈ἐγώ〉 εἰμι θεὸς θεῶν ἁπάντων Ἰάων Σαβαὼθ Ἀδωναὶ Ἀ[βρασὰ]ξ Ἰαραββαι θωυριω θανακερμηφ πανχοναψ.‘ Οὗτοι 〈οἱ〉 λόγοι γίνωνται καὶ λέ[γωντα]ι ἐπὶ τὰς γʹ ἡμέρας, ἵνα ἀποδοῖς τὴν πρᾶξιν τελέως. ὅταν δὲ πέμπεις, εἰς ἃ χρήζεις, λέγε μόνον τοῦτον τὸν λόγον, ἄρας τὸν Ἔρωτα ἀπὸ τῆς τραπέζης καὶ τὰ παρακείμενα αὐ[τῷ], 〈καὶ〉 γράφε ἐν πιττακιδίῳ, περὶ ὧν χρήζεις. λόγος γραφόμενος ἐν τῷ πιττακίῳ· ‘Σὺ εἶ ὁ νήπιος, ὁ ζῶν θεός, ὁ ἔχων μορφὴν 〈—〉 Σαμμὼθ Σαβαὼθ Ταβαὼθ σορφη σεουρφουθ μουι σι σρω Σαλαμα γωυθ εθειμηους Οὔσειρι Ἑσειῆ ε Φθᾶ Νούθ σαθαη Ἶσις αχθι εφανουν, βιβιου βιβιου, σφη σφη, ασηηαηι ʹ, πορευθεὶς 〈εἰσ〉 πάντα τόπον καὶ πᾶσαν οἰκίαν, ὅπου σε πέμπω, πρὸς τὸν δεῖνα τῆς δεῖνα (ἢ τὴν δεῖνα τῆς δεῖνα), παρομοιωθείς, ᾧ σ[έ]βεται θεῷ (ἢ θεᾷ), ἀνάγκασον αὐτὸν ποιῆσαι τόδε πρᾶγμα —ὅσα θέλεις, γράφε εἰς τὸ πιτ[τ]άκιον σὺν τῷ λόγῳ—, ἐγερθείς, ἔκθαμβος. ὁρκίζω σε κατὰ τοῦ 〈ἁγίου〉 καὶ κατ’ ἐπιτίμου ὀνόματος, ᾧ ἡ πᾶσα κτίσις [ὑ]πόκειται· πασιχθων ιβαρβου θαρακτιθεανω βαβουθα κωχεδ Ἀμήν· γενέσθω τόδε πρᾶγμα ἤδη ἤδη. 〈—〉 ἐρυθρᾶ 〈σ〉 θαλάσσης, ὁ ἐκ τῶν δʹ μερῶν τοὺς ἀνέμους συνσείων, ὁ ἐπὶ τοῦ λωτοῦ καθήμενος καὶ λαμπυρίδων [τ]ὴν ὅλην οἰκουμένην· καθέζῃ γὰρ κορκοδειλοειδής· ἐν δὲ τοῖς πρὸς νότον μέρεσ[ι]ν δράκων εἶ πτεροειδής· ὡς γὰρ ἔφυς τῇ ἀληθείᾳ· ιωιω βαρβαρ Ἀδωναὶ κομβαλιωψ θωβ ιαρμιωουθ· ἧκέ μοι, κλῦθί μου ἐπὶ τήνδε τὴν χρείαν, ἐπὶ τήνδ[ε] τὴν πρᾶξιν, μέγιστε Ἁρσαμῶσ[ι] μουχα λ[ι]νουχα ἅρπαξ Ἀδωνεαί. ἐγώ εἰμι, ᾧ συνήντησας ὑπὸ τὸ ἱερὸν ὄρος καὶ ἐδωρήσω τὴν τοῦ μεγίστου ὀν〈όματόσ〉 σου γνῶσιν, ἣν καὶ τηρήσω ἁγνῶς μηδενὶ μεταδιδούς, εἰ μὴ τοῖς σοῖς συνμύσταις εἰς τὰς σὰς ἱερὰς τελετάς ιαρβαθατρα μνηψιβαω χνημεωψ· ἐλθὲ καὶ παράστα εἰς [τ]ήνδε τὴν χρείαν καὶ συνέργησον.‘ [Τ ]ὰ παρὰ Ἡμερίου · Τυφωνίου μέλανος γραφή · ἀνε[μώ]νης, φλωγίτιδος, χυλοῦ κινάρας, σπέρματος ἀκάν[θη]ς Αἰγυπτίας, μίλ[τ]ου Τυφῶνος, ἀσβέστου, κονίας, ἀρτεμ[ισ]ίας μονοκλώνου, κόμεως, ὀμβρίου. Ἐργαστήριον εὖ πράσσειν · ἐπὶ ὠοῦ ὄρνιθος ἀρσενικοῦ ἐπίγραφε καὶ κατόρυξον πρὸς τὸν οὐδόν, ὅ[που] εἶ, τὸ ὠόν· ‘χφυρις, ὠόν, ὅ ἐστιν χορβαι σαναχαρσω Ἀμοῦν [Magical Character] σφη σφη γακνεφη σιεθω [Magical Character] νουσι νουσι, σὺ εἶ τὸ ὠὸν τὸ ἅγιον ἀπὸ λοχίας, ὅ ἐστιν σελβιους βαθινι φνιηιαηο αωη αωη αω[ι] αωι α φιαεα Θωύ〈θ,〉 Ἰάω σελετηα θεωηφ οξυμβρη ηηη ιιι. [95]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

‘ ἡ δὲ εὐχὴ τοῦ ᾠοῦ · ‘ὁ μέγας θεό[ς], δὸ[ς ἐ]μοὶ χάριν, πρᾶξιν, καὶ τόπῳ τούτῳ, ὅπου κεῖται τὸ ᾠόν, ἐν ᾧ οἴκῳ πραγματεύομαι ἐγὼ 〈ὅ〉 δε, Σελ[ε]πηλ θεωηφ καὶ Δαίμων Ἀγαθό[ς], ἐπαπόστειλον τῷδε τῷ τόπῳ πᾶσαν πρᾶξιν καὶ εὐ[π]ορίαν καθημερινήν. σὺ εἶ ἡ ἐργασία μου, σὺ εἶ ὁ μέγας Ἅμμων, ὁ ἐν οὐρανῷ να[ίων, ἐλθ]έ, βοήθησόν μοι.‘ Ὀνειροπο [ μπ ὸ ]ς Ἀγαθοκλεύς · Λαβὼν αἴλουρον ὁλομέλανα βιοθ[άν]ατον, π[ο]ιήσας πιττάκιον καὶ ἐνγράψας ζμύρνῃ τὰ ὑποκείμενα καὶ ὃν θέλεις ὀν[ειροπ]ομπεῦσαι, καὶ ἔνθες εἰς τὸ στόμα τοῦ αἰλούρου· ‘κεῖμαι, κεῖμαι, ἐγώ εἰμι ὁ μέγας, ὁ ἐν [στόμα]τι κείμενος μομμου Θώθ, νανουμβρη χαριχα κενυρω παρμιαθ, 〈ᾧ〉 ὄνομα τὸ ἅγιον· Ἰαου ιεη Ἰεου αηωι, ὁ ὢν ἐπάνω τοῦ οὐρανοῦ, ἄνεχε υμευ νεννανα σεννανα ἀβ[λα]ναθαν[α]λβα ἀκραμμαχαμαρι ἀβρασιλουα λαμψωρει εει ειει αωηηω Θήουρις ωα επειδευ επεργα βριων Ἀμή〈ν〉. χρημάτισον τῷ δεῖνα περὶ τοῦδε.‘ ὁ δὲ ἐπάναγκος· ‘δ[ε]ῦρό μοι, δεῖνα, 〈ὁ〉 πήξας τὸν 〈 〉 ὑπὸ τῇ σεαυτοῦ δυνάμει, ὁ κυριεύων τοῦ παντὸς κόσμου, ὁ [π]ύρινος θεός, χρημάτισον τῷ δεῖνα θαρθαρ θαμαρ ἀθαθα μομμομ θαναβωθ ἀπρανου βαμβαληα χρ[η]θ Ναβουσουληθ ρομβρου Θαραὴλ ἀλβανα βρωχρηξ ἀβρανα Ζουχήλ· [ἐ]πάκουσόν μου, ὅτι μέλλω τὸ μέγα ὄνο〈μα〉 λέγειν· Ἀώθ, ὃν πᾶς θ(εὸς) προσκυνεῖ καὶ π[ᾶ]ς δαίμων φρίσσει, ᾧ πᾶς ἄγγελος τὰ ἐπιτασσόμενα ἀποτελεῖ. θεῖον ὄνομά σοι τὸ κατὰ τῶ[ν] ζʹ· αεηιουω Ἰαυωη εαωουεηωια. εἴρηκά σου τὸ ὄνομα ἔνδοξον, ὄνομα τὸ κατὰ πάντων τῶν χρειῶν. χρημάτισον τῷ δεῖνα, κύριε θεέ.‘ τὸ ὄνομα τοῦτο. τούτῳ καὶ Ἀπολλώβηξ ἐχρᾶτο. Ὀνειροπομπὸς Ζμίνιος Τεντυρίτου · Λαβὼν ὀθόνιον καθαρ[ὸ]ν καὶ—κατὰ Ὀστάνην—ζμύρνῃ γράψον εἰς αὐτὸ ἀνθρωποειδὲς ζῴδιον καὶ πτερὰ δʹ κ[αὶ τ]ὴν μὲν λαιὰν χεῖρα ἐκτετακότα σὺν τοῖς ἀριστεροῖς πτεροῖς βʹ, τὴν δὲ ἑτέραν κ[εκ]αμμένην ἔχοντ[α] καὶ τοὺς δακτύλους κεκαμμένους· ἐπὶ δὲ τῆς κεφαλῆς βασίλει[ον] καὶ ἱμάτιον περ[ὶ] τὸν πῆχυν καὶ βʹ ἕλικας ἐν τῷ ἱματίῳ, ἐπάνω δὲ τῆς κεφαλῆς κέρατα ταύρου, πρὸς δὲ τοῖς γλουτοῖς πυγὴν ὀρνέου πτερωτήν. ἔστω δὲ ἡ χεὶρ δεξιὰ προσέχουσα τῷ στομάχῳ, κεκλεισμένη, ἐφ’ ἑκατέρου δὲ τοῦ σφυροῦ ξίφος ἐκτεταγμένον. ἔνγραφε εἰς τὸ ῥάκος καὶ τὰ ἑξ〈ῆσ〉 ὀνόματα τοῦ θεοῦ καὶ ὅσα θέλεις ἰδεῖν τὸν 〈δεῖνα〉 καὶ ὡς· ‘χαλαμανδριωφ ιλεαρζωθρεδαφνιω ερθιβελνινρυθαδνικωψαμμεριχ, ὑμῖν λέγω καὶ σοί, μέγα δυναμένῳ δαίμον〈ι〉 · πορεύθητι εἰς τὸν τοῦδε οἶκον καὶ λέγε αὐτῷ τάδε.‘ εἶτα λαβὼν ἀμίλτωτον λύχνον ἄγραφον ἐνλυχνιάσας πλῆσον κεδρίᾳ, ἅψας δὲ ἐπίλεγε τὰ ὑποκείμενα ὀνόματα γʹ θ(εοῦ)· ‘χαλαμανδριωφ ιδεαρυωθ θρεδαφνιω ερθαβεανιγ ρυθανικω ψαμμοριχ, τὰ ἅγια τοῦ θ(εοῦ) ὀνόματα, ἐπακούσατέ μου [κ]αὶ σύ, Ἀγαθὲ Δαίμων, οὗ κράτος μέγιστόν ἐστιν ἐν θεοῖς, ἐπάκουσόν μου πορευθεὶς πρὸς τὸν δεῖνα εἰς τὸν οἶκον αὐτοῦ, ὅπου κοιμᾶται, εἰς τὸν κοιτῶνα αὐτοῦ, καὶ παραστάθητι αὐτῷ φοβερός, τρομερὸς μετὰ τῶν τοῦ θ(εοῦ) μεγάλων καὶ κραταιῶν ὀνομάτων, καὶ λέγε αὐτῷ τάδε. ἐξορκίζω σε [τ]ὴν δύναμίν σου, τὸν μέγαν θ(εὸν) Σηίθ, τὴν ὥραν, ἐν ᾗ ἐτέχθης μέγας θεός, τὸν χρηματίσοντα τὸ ν[ῦ]ν θεόν, τὰ τξεʹ ὀνόματα τοῦ μεγάλου θεοῦ, πορευθῆναι πρὸς τὸν δεῖνα ἐν τῇ ἄρτι ὥρᾳ, ἐν τῇ ἄρτι νυκτὶ καὶ λέγειν αὐ[τῷ] κατ’ ὄναρ τάδε. ἐάν με παρακούσῃς καὶ μὴ πορευθῇς [π]ρὸς τὸν δεῖνα, ἐρῶ τῷ μεγάλῳ θεῷ· κ[αὶ τ]ρήσας σε κατακόψει μελεϊστὶ καὶ τὰ κρέατά σου δώσει φαγεῖ[ν] τ[ῷ] ψωριῶντι κυ[νὶ] τῷ ἐν ταῖς κοπρίαις καθημένῳ. διὰ τοῦτο ἐπάκ[ουσ]όν μ[ο]υ ἤδη ἤδη, ταχὺ ταχύ, ἵνα μὴ ἀναγκασθῶ ταῦτα ἐκ δευτέρου λέγειν.‘ Ὀνείρου αἴτησις · Ἀκριβὴς εἰς πάντα γράψον εἰς βύσσινον ῥάκος αἵματι ὀρτυγίου θεὸν Ἑ [ρ ]μῆν ὀρ [θ ]ό ν , ἰβιοπρόσωπο ν , ἔπειτα ζμύρνῃ ἐπίγραψον καὶ τὸ ὄνομα καὶ ἐπίλεγε τὸν [ λ ό ]γον · ‘ ἔρχου μοι ὡδὶ αἶψ α , ὁ ἔχων τὴν ἐξουσία ν . ἐπικαλοῦμαί σε τὸν ἐπὶ τῶν [ π ν ]ευμάτων τεταγμένον θεὸν θ ( εῶ ν) , δεῖξαί μοι κα θ ’ ὕπνους τόδ ε . ἐξορκίζω [ σ ε ] κατὰ [τ ]οῦ πατρός σου Ὀσίριδος καὶ Ἴσιδο ς , τῆς μητρός σο υ , δεῖξαί μοί τι [ ν α ] μορφήν σο υ , καὶ περὶ ὧν θέλ ω , χρημάτισο ν .

ὄνομά σοι · ‘ ηιουαθ ι , ψηηπνουα νερτη ρ , διοχασβαρ α , Ζαραχω ‘ , ὃν καλοῦσι Βαλχάμ · χρημάτισον περὶ τοῦδ ε , περ [ ὶ π ]άντω ν , 〈ὧν〉 πυνθάν ω . ‘ Θεομαντεῖο ν . ὄνομα μέγα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπικαλέσῃ ἐπὶ μεγάλης ἀνάγκης, ἐπὶ κεφαλικῶν καὶ ἀναγκαίων πραγμάτων, εἰ μή, σεαυτὸν αἰτιάσεις. προσεπίλεγε γʹ τὸ Ἰάω, εἶτα τοῦ θεοῦ [ὄ]νομα τὸ μέγα· ‘ἐπικαλοῦμαί σε, Φθᾶ Ῥᾶ Φθᾶ ιη Φθᾶ ουν εμηχα ερωχθ Βαρωχ θο[ρχ]θα θωμ χαιεουχ ἀρχανδαβαρ ωεαεω υνηωχ ηρα ων ηλωφ βομ Φθᾶ ἀθαβρασια Ἀβριασωθ βαρβαρβελωχα βαρβαιαωχ· γενέσθω βά[θος], πλά[τος], μῆ[κος], αὐγή· ἀβλαναθαναλβα ἀβρασιαουα ἀκραμμαχαμαρει, Θώθ, Ὦρ αθωωπω. εἴσελθε, κύριε, καὶ χρημάτισον.‘ εἰσελεύσεται θεὸς ὀφεοπρόσωπος καὶ ἀποκριθήσεταί σοι. ὅταν δὲ ἀπολύσ[ῃ]ς, ἐπίθυε γῆρας ὄφεως. 〈Δεσμόλυτον〉· ἐὰν δὲ θέλῃς δεικτ[ι]κόν τι ποιῆσαι καὶ αὐτὸς ἀπολυθῆναι κι[ν]δύνου, στὰς πρὸς τῇ θύρᾳ λέγε τὸν λόγον, καὶ εἰπὼν ἐκπορεύσῃ, προσθείς· ‘λυθήτω[σ]αν οἱ δεσμοὶ τοῦ δεῖνα, καὶ ἀνοιγήτωσαν αὐτῷ αἱ θύραι, καὶ μηδεὶς αὐτὸν θεασάσθω.‘ τεκμηριο[ῖ]ς δέ, ὅτι γείνε[τ]αι· δήσας δέ τινα πανδέτην ἔνκλεισον εἰς οἶκον, καὶ ἔξω στὰς λέ[γε] τὸν λόγον ἑξάκ[ι]ς ἢ ἑπτάκις οὕτως· ‘ἐπικαλοῦμαι ὑμᾶς τοὺ〈σ〉 μεγάλου〈σ〉 θεοὺ〈σ〉 τῇ μ[ε]γάλῃ φωνῇ, αισαρ Αἰώθ ουαιγνωρ Μαρσαβωουτωρθε λαβαθ ερμου χοωρθεν μαναχθωρφ πεχρηφ ταωφ[π]ωθθωχο θαρωχ βαλεθαν χεβρωουθαστ, Ἀδωναί, Ἁρμιωθ.‘ ἐπὰν τοῦ[τ]ον τὸν λόγον [εἴπῃς] καὶ λυθῇ, ἐπίλεγε ταῦτα, ἵνα αἱ θύραι ἀνοιγῶσιν· ‘ὀχλοβαραχω, Λαϊλάμ, δαριδαμ δ[αρδα]μ δαρδαραμπτου ιαρθα ιερβα διερβα βαρωθα θιαρβα αρβ[ι]θω[ . ]ω μααρ Σεμεσιλ[άμ, μα]ρμαραχνευ ΄ , Μανε Θώθ, ἅγιε, εἴσελθε καὶ λῦσον τὸν δεῖνα καὶ δὸς αὐτῷ ὁδὸν ἐξόδου, [σεσε]νγεν βαρφαραγγης, ὁ διαλύων πάντα τὰ δεσμὰ καὶ διαλύων τὸν περικείμενον [σίδηρ]ον τῷ δεῖνα, ὅτι ἐπιτάσσει σοι ὁ μέγας καὶ ἄρρητος καὶ ὅσιος καὶ δίκ[αι]ος καὶ φρικτὸς καὶ ἰσχυ[ρὸς καὶ] ἄφθενκτος καὶ φοβερὸς καὶ ἀκαταφρόνητος τοῦ μεγάλου θεοῦ δαίμων, σοροε[ρ]μερ [φεργαρ] βαξ μαμφρι ουριξγ.‘ ὅταν δὲ ῥαγῇ τὰ δεσμά, λέγε· ‘ε[ὐχ]αριστῶ σοι, κύριε, ὅ[τι] με ἔ[λυσε]ν τὸ ἅγιον πνεῦμα, τὸ μονογενές, τὸ ζῶν.‘ καὶ πάλιν λέγε τὸν λόγον· ‘ἀστροθ[ετῶν] θεέ, κεραυνομεγα〈κ〉λονοζηνπερατοκοσμολαμπροβελοπλουτο〈δότα〉 δαίμων, ἀερ〈οδ〉ιαφρίξ, ἀκτινοπ〈οι〉ῶν, δ〈ι〉ατοροφρήν, ὁ δολο〈ποιῶν〉.‘ τέλει δὲ καὶ τὸ τοῦ Ἡλίου ὄνομα πρὸς πάντα· ‘αἴθων, ηφαιη, Ἥφαισ[τ]ε, πυριφαῆ, λαμπροφοῖτα, ανανωχα, αμαρζα, μαρμαραμω.‘ Ἐὰν βούλῃ τινὰ ὀργιζόμενόν σοι καταπαῦσαι, γράψας [εἰς βύσσ]ον ζμύρνισον τὸ τῆς ὀργῆς ὄνομα τοῦτο· ‘χνεωμ‘ καὶ κράτει τῇ εὐωνύμῳ χ[ειρὶ καὶ λ]έγε· ‘κατέχω τὴν ὀργὴν πάντων, μάλιστα τοῦ δεῖνα, ἥ ἐστιν χνεωμ.‘ ‘Κύριε, χαῖρε, τὸ χαριτήσιον τοῦ κόσμου καὶ τῆς οἰκ[ουμένη]ς· οὐρανὸς ἐγένετο κωμαστήριον Ἁρσενοφρη, ὁ βασιλεὺς τῶν οὐρανί[ων θεῶν, Ἀβ]λαναθαναλβα , ὁ τὸ δίκαιον ἔχων, Ἀκραμμαχαμαρει, ὁ ἐπίχαρις θε[ός, σανκ]ανθαρα, ὁ τῆς φύσεως ἡγεμών, σατραπερκμηφ, ἡ γένεσις τοῦ οὐρανίου [κόσμου], ἀθθαννου ἀθθαννου, ἀστραφαι, ἰαστραφαι, πακεπτωθ, πα[ ....... ]ηριντασκλιουθ ηφιω, Μαρμαραώθ. ἡ παρρησία μου μή με ἐνκαταλειπ[έτω, ἀλλ’] ἀκουσάτω μοι πᾶσα γλῶσσα καὶ πᾶσα φωνή, ὅτι ἐγώ εἰμι Περταω [μηχ χαχ] μνηχ σακμηφ Ἰαωουεη ωηω ωηω ιεουωηιηιαηα ιηωυοει, δός μ[οι εὐμεν]ῶς, ὃ ἐὰν βούλῃ.‘ Ὀνειραιτητὸν λεγόμενον πρὸς Ἄρ[κτον, ἐκ κ]αθαροῦ ἐπὶ τῆς ἀριστερᾶς χειρὸς ἔλαιον λαβὼν ἐπίλεγε τὰ ὀν[όματα, εἶτα] βρέξαι καὶ κοιμῶ πρὸς ἀνατολὰς ἔχων τὴν κεφαλήν· ‘Ἰησοῦς ἀνουι ...... ι . δ .... ‘ Ἴωσις χρυσο ῦ . λαβὼν ὄξος δριμὺ στύψον καὶ ἔχε τὸ ἅ[μα] ἁλὸς κοινοῦ ∠ ηʹ, στυπτηρ[ί]ας σχιστῆς ∠ βʹ, λιθαργύρου ∠ δʹ, συνλείου τῷ ὄξει κ[αθ’ ἡ]μέρας γʹ καὶ ἀποσειρώσας χρῶ. εἶτα πρόσβαλε τῷ ὄξει χαλκάνθου ∠ αʹ, μ[ίσυος] ἡμιοβέλιον, χαλκίτεως ηʹ, σώρεως ὀβολὸν ἡμιοβέλιον, ἁλὸς κοινοῦ κερά[τιον, καπ]παδοκικοῦ κεράτια βʹ. ποιήσας πέταλον ἔχον τετάρτας βʹ, πυρώσας βάπ[τε τρ]ίς, ἕως λακηθῇ τὸ πέταλον· εἶτα ἄρας τὰ λακήματα ἔχε ὡς ἐξίωσιν τοῦ χρυσ[οῦ.] Ὀζεί α . λαβὼν χρυσοῦ τετάρτας 〈βʹ〉 ποίησον πέταλον καὶ πυρώ[σα]ς βάψον εἰς χάλκανθον τετριμμένην μετ’ ὕδατος καὶ ἄλλην ξηρὰν κόψα[ς καὶ βά]πτων τῷ 〈ὀ〉ξηρῷ (ἄλλο δέ· τῷ μεμιγμένῳ) ἀπόχυε τὸν ἰὸν καὶ βάλε εἴ[σω. [195]



Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character] ] Δακτυλίδιον πρὸς πᾶσαν πρᾶξιν καὶ ἐπιτυχίαν. μ[ετίασιν] βασιλεῖς καὶ ἡγεμόνες. λίαν ἐνεργές. λαβὼν ἴασπιν ἀερίζοντα ἐπίγραψον δρά[κοντα, κυ]κλοτερῶς τὴν οὐρὰν ἔχοντα ἐν τῷ στόματι, καὶ ἔτι μέσον τοῦ δρ[άκ]οντο[ς Σελήνην] δύο ἀστέρας ἔχουσαν ἐπὶ τῶν δύο κεράτων καὶ ἐπάνω τούτων ἥλιον, ᾧ [ἐγγεγλύφθ]ω ʻἈβρασάξʻ, καὶ ὄπισθεν τῆς γλυφῆς τοῦ λίθου τὸ αὐτὸ ὄνομα ʻἈβρασάξʻ καὶ κατὰ τοῦ π[εριζώμ]ατος ἐπιγράψεις τὸ μέγα καὶ ἅγιον καὶ κατὰ πάντων, τὸ ὄνομα Ἰάω, Σαβαώθ. [καὶ τελέσ]ας τὸν λίθον ἐν χρυσῷ δακτυλίῳ φόρει, ὁπόταν ᾖ σοι χρεία, ἁγνὸς ὤν, καὶ ἐπ[ιτεύξῃ πά]ντων, ὅσων προαιρῇ. τελέσεις δὲ τὸ δακτυλίδιον ἅμα τῇ ψήφῳ τῇ κατὰ πάντ[ων τελετ]ῇ. ὁμοίως δὲ καὶ ἐν χρυσῷ γλυφέντα τὴν αὐτὴν ἐνέργειαν ἔχει. τελετὴ δὲ ἡ κατ[ασκευ]ὴ ἡ ὑπογεγραμμένη· ποιήσας βόθρον ἐν ἡγνισμένῳ τόπῳ ὑπαίθρῳ, εἰ [δὲ μή, ἐν] σήματι καθαρῷ ἡγνισμένῳ, [β]λέποντι πρὸς ἀνατολήν, καὶ ποιήσας ἐπὶ τῷ βόθρῳ βωμὸν ἐκ ξύλων καρπίμων καὶ ἐπιθύσας χῆνα ἄσπιλον καὶ ἀλεκτρ〈υ〉όνας γʹ καὶ περιστεροὺς γʹ καὶ ἀρώματα παντοδαπὰ ἐπίθυε ὁλοκαυστῶν σὺν τοῖς ὀρνέοις καὶ ἐγγὺς σταθεὶς τοῦ βόθρου βλέπε πρὸς ἀνατολὴν καὶ ἐπισπένδων οἶνον, μέλι, γάλα, κρόκον εὐχόμενος καὶ κρατῶν 〈λίθον〉, ἐν ᾧ αἱ γραφαί εἰσιν ἐνκεχαραγμέναι, ὑπὲρ τὸν ἀτμὸν λέγε· ʻἐπικαλοῦμαι καὶ εὔχομαι τὴν τελετήν, ὦ θεοὶ οὐράνιοι, ὦ θεοὶ ὑπὸ γῆν, ὦ θεοὶ ἐν μέσῳ μέρει κυκλούμενοι, τρεῖς ἥλιοι Ἀνοχ Μανε Βαρχυχ, κατὰ αʹ μέρος ἐκ αʹ κοιλίας ἐκπορευόμενοι καθʼ ἡμέραν, ὦ τῶν πάντων ζῴων τε καὶ τεθνηκότων κ[ρ]αταιοί, 〈ὦ〉 τῶν ἐπὶ πολλαῖς ἀνάγκαις θεῶν τε καὶ ἀνθρώπων διακουσταί, ὦ τῶν φανερῶν καλυπταί, ὦ τῶν Νεμέσεων τῶν σὺν ὑμῖν διατριβουσῶν τὴν πᾶσαν ὥραν κυβερνῆται, ὦ τῆς Μοίρας τῆς ἅπαντα περιϊππαζομένης ἐπιπομποί, ὦ τῶν ὑπερεχόντων ἐπιτάκται, ὦ τῶν ὑποτεταγμένων ὑψωταί, ὦ τῶν ἀποκεκρυμμένων φανερωταί, ⟦ ὦ τῶν Νεμέσεων σὺν ὑμῖν διατριβουσῶν τὴν πᾶσαν ὥραν (πάλιν) κυβερνῆται, ⟧ ὦ τῶν ἀνέμων ὁδηγοί, ὦ τῶν κυμάτων ἐξεγερταί, ὦ πυρὸς κομισταὶ (κατά τινα καιρόν), ὦ πάσης γέννης κτισταὶ καὶ εὐεργέται, ὦ πάσης γέννης τροφοί, ὦ βασιλέων κύριοι καὶ κρατισταί, ἔλθατε εὐμενεῖς, ἐφʼ ὃ ὑμᾶς ἐπικαλοῦμαι, ἐπὶ τῷ συμφέροντί μοι πράγματι εὐμενεῖς παραστάται. ἐγὼ φυτὸν ὄνομα βαΐς, ἐγὼ ἀπόρροια αἵματος ἀπὸ τῆς τοῦ μεγάλου ταφῆς τῶν βαΐων, ἐγὼ ἡ Πίστις εἰς ἀνθρώπους εὑρεθεῖσα καὶ προφήτης τῶν ἁγίων ὀνομάτων εἰμί, ὁ ἀ〈εὶ〉 ἴσος, ὁ ἐκπεφυκὼς ἐκ τοῦ Βυθοῦ, ἐγώ εἰμι ὁ Χράτης ὁ πεφυκὼς ἐκ τοῦ οὐατίου, ἐγώ εἰμι ὁ θεός, ὃν οὐδεὶς ὁρᾷ οὐδὲ προπετῶς ὀνομάζει, ἐγώ εἰμι τὸ ἱερὸν ὄρνεον Φοῖνιξ, ἐγώ εἰμι ὁ Κράτης, ὁ ἅγιος, προσαγορευόμενος Μαρμαραυώθ, ἐγώ εἰμι ὁ Ἥλιος ὁ δεδειχὼς φῶς, ἐγώ εἰμι Ἀφροδείτη προσαγορευομένη Τῦφι, ἐγώ εἰμι ὁ ἅ[γ]ι[ο]ς ἐπίβολος ἀνέμων, ἐγώ εἰμι Κρόνος ὁ δεδειχὼ〈σ〉 φῶς, ἐγώ εἰμι μήτηρ θεῶν ἡ καλ[ου]μένη οὐρανός, ἐγώ εἰμι Ὄσιρις ὁ καλούμενος ὕδωρ, ἐγώ εἰμι Ἶσις ἡ καλουμένη δρόσος, ἐγώ εἰμι Ἡσενεφυς, ἡ καλουμένη ἔαρ, ἐγώ εἰμι Εἴδωλος τοῖς κατὰ ἀλήθειαν εἰδώλοις ὡμοιωμένος, ἐγώ εἰμι Σοῦχος 〈ὡμοιωμένοσ〉 κορκοδείλῳ. διὸ δέομαι· ἔλθατέ μοι συνεργοί, ὅτι μέλλω ἐπικαλεῖσθαι τὸ κρυπτὸν καὶ ἄρρητον ὄνομα, τὸν προπάτορα θεῶν, πάντων ἐπόπτην κ[α]ὶ κύριον. δεῦρό μοι, ὁ ἐκ τῶν δʹ ἀν[έ]μων, ὁ παντοκράτωρ θεός, ὁ ἐνφυσήσας πνεύματα ἀνθρώποις εἰς ζωήν, δέσποτα τῶν ἐν κόσμῳ καλῶν, ἐπάκουσόν μου, κύριε, οὗ ἐστιν τὸ κρυπτὸν ὄνομα ἄρρητον, ὃ οἱ δαίμωνες ἀκούσαντες πτοοῦνται, οὗ καὶ ὁ ἥλιος (βαρβαρειχ αρσεμφεμφρωθου τὸ ὄνομα), οὗ ἡ γῆ ἀκούσασα ἑλίσσεται, ὁ Ἅιδης ἀκούων ταράσσεται, ποταμοί, θάλασσα, λίμναι, πηγαὶ ἀκούουσαι πήγυνται, αἱ πέτραι ἀκούσασαι ῥήγυνται, καὶ οὐρανὸς μὲν κεφαλή, αἰθὴρ δὲ σῶμα, γῆ πόδες, τὸ δὲ περί σε ὕδωρ, ὠκεανός, Ἀγαθὸς Δαίμων. σὺ εἶ κύριος ὁ γεννῶν καὶ τρέφων καὶ αὔξων τὰ πάντα. τίς μορφὰς ζώων ἔπλασε, τίς δὲ εὗρε κελεύθους; τίς καρπῶν γεννητής, τίς δʼ οὔρεα ὑψόσʼ ἐγείρει; τίς δὲ ἀνέμους ἐκέλευσεν ἔχειν ἐνιαύσια ἔργα; τίς δὲ Αἰὼν Αἰ〈ῶ〉να τρέφων Αἰῶσιν ἀνάσσει;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἷς θεὸς ἀθάνατος· πάντων γεννήτωρ σὺ πέφυκας καὶ πᾶσιν ψυχὰς σὺ νέμεις καὶ πάντα κρατύνεις, Αἰώνων βασιλεῦ καὶ κύριε, ὃν καὶ τρέμουσιν οὔρεα σὺν πεδίοις, πηγῶν ποταμῶν τε τὰ ῥεῖθρα καὶ βῆσσαι γαίης [κ]αὶ πνεύματα, πάντα τὰ φύντα. οὐρανὸς ὑψιφαὴς σε τρέμει καὶ πᾶσα θάλασσα, κύριε, παντοκράτωρ ἅγιε καὶ δέσποτα πάντων.

12 (250) σῇ δυνάμει στοιχεῖα πέλει καὶ φύεται πάντα, ἠελίου μήνης τε δρόμος νυκτός τε καὶ ἠοῦς, ἀέρι καὶ γαίᾳ καὶ ὕδατι καὶ πυρὸς ἀτμῷ. σοῦ δὲ τὸ ἀένναον κωμαστήριον, ἐν ᾧ ἀφίδρυται τὸ ὄνομά σου τὸ ἑπταγράμματον πρὸς ἁρμονίαν τῶν ἑπτὰ φθόγγων ἐχόντων φωνὰς πρὸς τὰ κη' φῶτα τῆς σελήνης· 〈σ〉 οὗ αἱ ἀγαθαὶ ἀπόρροιαι τῶν ἀστέρων εἰσίν, δαίμονες καὶ Τύχαι καὶ Μοῖραι. σὺ δίδεις πλοῦτον, εὐγηρ〈ασ〉ίαν, εὐτεκνίαν, ἰσχύν, τροφάς. σὺ δέ, κύριε τῆς ζωῆς, βασιλεύων τῆς ἄνω καὶ κάτω χώρας, οὗ ἡ δικαιοσύνη οὐκ ἀποκλείεται, οὗ τὸ ὄνομα τὸ ἔνδοξον οἱ ἄγγελοι ὑμνοῦσιν, ὁ ἔχων τὴν ἄψευστον ἀλήθειαν, ἐπάκουσόν μου καὶ τέλεσόν μοι τήνδε τὴν πρᾶξιν ἐπὶ τῷ φοροῦντί μοι τήνδε τὴν δύναμιν ἐν παντὶ τόπῳ, ἐν παντὶ χρόνῳ ἄπληκτον, ἀκαταπόνητον, ἄσπιλον ἀπὸ παντὸς κινδύνου τηρηθῆναι, φοροῦντί μοι ταύτην δύναμιν. ναί, κύριε, σοὶ γὰρ πάντα ὑποτέτακται τῷ ἐν οὐρανῷ θεῷ, καὶ μηδεὶς δαιμ〈όν〉ων ἢ πνευμάτων ἐναντιωθήσεταί μοι, ὅτι σου ἐπὶ τῇ τελετῇ τὸ μέγα ὄνομα ἐπεκαλεσάμην καὶ πάλιν ἐπικαλοῦμαί σε κατὰ μὲν Αἰγυπτίους· 'Φνω εαι Ἰαβωκ', κατὰ δ' Ἰουδαίους· ''Αδωναῖε Σαβαώθ', κατὰ Ἕλληνας· 'ὁ πάντων μόναρχος βασιλεύσ', κατὰ δὲ τοὺς ἀρχιερεῖς· 'κρυπτέ, ἀόρατε, πάντας ἐφορῶν', κατὰ δὲ Πάρθους· 'Οὐερτω παντοδυνάστα.' τέλεσόν μοι καὶ δυνάμωσόν μοι τοῦτο πρᾶγμα εἰς ἅπαντα τὸν τῆς ζωῆς μο〈υ〉 καὶ ἔνδοξον χρόνον.' τὰ δὲ ὄπισθεν ὀν[ό]ματα τοῦ λίθου ἐπιγεγλυ〈μ〉μένα ἐστὶν τάδε· ''Ιάω Σαβαὼθ Ἀβρασάξ'. [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] Δακτυλίδιον πρὸς ἐπίτευξιν καὶ χάριν καὶ νίκη ν . ἐνδόξους ποιεῖ καὶ μεγέλους καὶ θαυμαστοὺς καὶ πλουσίους κατὰ δύναμιν ἢ τοιούτων φιλίας παρέχει. ἔστι σοι κατὰ πάντα δικαίως καὶ εὐπροφόρως ἀδιάλειπτος ὁ κύκλος. ὄνομα περιέχει κάλλιστον. ἥλοις γλύφεται ἐπὶ λίθου ἡλιοτροπίου τὸν τρόπον τοῦτον· δράκων ἔστω ἐνκύμων, στεφάνου σχήματι οὐρὰν ἐν τῷ στόματι ἔχων. ἔστω δὲ ἐντὸς τοῦ δράκοντος κάνθαρος ἀκτινωτὸς ἱερός. τὸ δὲ ὄνομα ἐκ τῶν ὄπισθε μερῶν τοῦ λίθου γλύψεις ἱερογ〈λ〉υφικῶς, ὡς προφῆται λέγουσιν, καὶ τελέσας φόρει καθαρείως. τούτου μεῖζον οὐδὲν ἔσχεν ὁ κόσμος· ἔχων γὰρ αὐτὸ μεθ' ἑαυτοῦ, ὃ ἂν παρά τινος αἰ[τ]ήσῃς, πάντως λήμψει. ἔτι δὲ βασιλέων ὀργὰς καὶ δεσποτῶν παύει. φορῶν αὐτό, ὃ ἄν τινι εἴπῃς, πισθευθήσῃ ἐπίχαρίς τε πᾶσιν ἔσει. ἀνοίξει δὲ θύρας καὶ δεσμὰ δια〈ρ〉ρήξει καὶ λίθους ὁ προσάγων τὸν λίθον, τοῦτ' ἔστιν ψῆφον, καὶ λέγων τὸ ὄνομα τὸ ὑπογεγραμμένον. ποιεῖ δὲ καὶ πρὸς δαιμονοπλήκτους· δὸς γὰρ φορεῖν αὐτό, καὶ παραυτὰ φεύξεται τὸ δαιμόνιον. πρωΐας δὲ σταθεὶς κατέναντι τοῦ ἡλίου, κρατῶν τὸν λίθον τὸν εὔμετρον, τὸν καλοποιόν, τὸν θεῖον, τὸν ἁγνόν, τὸν χρήσιμον, τὸν φειδωλόν, τὸν εὔσπλανχνον, τὸν τὰς χρήσεις μεταδιδόντα, τὸν ἐμμελῆ, τὸν εὐπρεπῆ, 〈λέγε〉· 'Θεὲ μέγιστε, ὃς ὑπερβάλλεις τὴν πᾶσαν δύναμιν, ἐπικαλοῦμαί σε, τὸν Ἰάω, τὸν Σαβαώθ, τὸν Ἀδωναί, τὸν Εἰλωείν, τὸν Σεβωείν, τὸν Ταλλαμ, τὸν Χαυναων Σαγηναμ Ἐλεμμεδωρ Χαψουθι, τὸν Σεττωρα τὸν Σαφθα, τὸν Νουχιθα, τὸν Ἀβραάν, τὸν Ἰσάκ, τὸν Ἰακκωβι, τὸν Χαθαθιχ, τὸν Ζευπειν, τὸν Νηφυγορ, Ἀσταφαῖον, τὸν Κατακερκνηφ, τὸν Κοντεον, τὸν Κατουτ, τὸν Κηριδευ, τὸν Μαρμαριώθ, τὸν Λικύξαντα, τὸν Βεσσουμ, τὸν Συμεκοντευ, τὸν κατὰ τοῦ Θωιθ, τὸν Μασκελλει, τὸν Μασκελλωθ, τὸν Φνου, τὸν Κενταβαωθ, τὸν Ὀρεοβαζαγρα, τὸν Ἱππόχθων, τὸν Ῥησίχθων, τὸν Πυριπηγανυξ Νυξιω, τὸν Ἀβρωροκορε, τὸν Κοδηρε, τὸν Μουισδρω, τὸν ἄναξ, τὸν Θαθ, τὸν Φαθ, τὸν Χαθ, τὸν Ξευζην, τὸν Ζευζει, τὸν Σουσηνη, τὸν Ελαθαθ, τὸν Μελασιω, τὸν Κουκωρ, τὸν Νευσωω, τὸν Παχιω, τὸν Ξιφνω, τὸν Θεμελ, τὸν Ναυθ, τὸν Βιοκληθ, τὸν Σεσσωρ, τὸν Χαμελ, τὸν Χασινευ, τὸν Ξωχω, τὸν Ἰαλλινωι, τὸν Σεισενγφαραγγης, τὸν Μασιχιωρ, τὸν Ἰωταβαας, τὸν Χενουχι, τὸν Χααμ, τὸν Φαχιαραθ, τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νεεγωθαρα, τὸν Ἰαμ, τὸν Ζεωχ, τὸν Ἀκραμμαχαμαρει, τὸν Χερουβεί, τὸν Βαϊνχωωχ, τὸν Εἰοφαλεον, τὸν Ἰχανωθ, τὸν Πωε, τὸν Ξεφιθώθ, τὸν Ξουθούθ, τὸν Θοωθιου, τὸν Ξεριφωναρ, τὸν Ἐφιναρασωρ, τὸν Χανιζαρα, τὸν Ἀναμεγαρ, τὸν Ἰωο, τὸν Ξτουροριαμ, τὸν Ἰωκ, τὸν Νιωρ, τὸν Χετταῖον, τὸν Ἐλουμαῖον, τὸν Νωιω, τὸν Δαμναμενεῦ, τὸν Ἀξιωθωφ, τὸν Ψεθαιακκλωψ, τὸν Σισαγέτα, τὸν Νεοριφρωρ, τὸν Ἱπποκελεφοκλωψ, τὸν Ζειναχα, τὸν Ἰαφεθανα, α′ ε′ η′ ι′ ο′ υ′ ω′. [295]

12 (300) ἐπεκαλεσάμην σέ, θεὲ μέγιστε, καὶ διά σου τὰ πάντα, ὅπως δῷς θείαν καὶ μεγίστην δύναμιν τούτῳ τῷ ξοάνῳ καὶ ποιήσῃς αὐτὸ δύνασθαι καὶ ἰσχύειν κατὰ πάντων καὶ χωρεῖν ψυχὰς μετατρέπειν, πνεύματα κινεῖν, ἀντιδίκους ὑποτάσσειν, φιλίας στηρίζειν, πόρους πάντας περιποιεῖν, ὀνείρους ἐπιφέρειν, χρησμοδοτεῖν, πάθη τε ψυχικὰ καὶ σωματικὰ καὶ ἀσθένειαν ἐμποδισμόν τε ποιεῖν, φίλτρα ἐρωτικὰ πάντα ἀποτελεῖν. ναί, δέσποτα, δέσποτα, τέλει τελείαν τελετήν.‘ ὅταν δὲ τὸν λόγον τοῦτο[ν] τ[ε]λῇς, ἑκάστης ἡμέρας μὲν λέγε τρίς, ὥρᾳ γ′, ϛ′, θ′, τοῦτο δὲ ἐπὶ ἡμέρας ιδ′, ἀρξάμενος ἀπὸ τῆς σελήνης γ′. πειρῶ δὲ εἶναι τὴν θεὸν ἤτε ἐν ταύρῳ ἢ παρθένῳ ἢ σκορπίῳ ἢ ἐν ὑδρηχόῳ ἢ ἐν ἰχθύσι. τελοῦντος δέ σου καθ’ ἑκάστην κλῆσιν ἐπίσπενδε τὰ προκείμενα καὶ μύρων παντοδαπῶν χωρὶς λιβάνου. ἐκτελέσαντος δὲ τὴν τελετὴν, καθὼς προ〈σ〉ήκει, ἔχε ἀλέκτορα δίλοφον, ἤτοι λευκὸν ἢ ξανθόν, ἀπέχου δὲ μέλανος, καὶ μετὰ τὴν τελετὴν ζῶντα τὸν ἀλέκτορα ἀνάπτυζε καὶ ἔνβαλε τὸ ζῳδάριον ἔσω εἰς τὰ σπλάγχνα τοῦ ἀλεκτόρου φιλοτιμούμενος, ὅπως μὴ διαρ〈ρ〉αγῇ τὰ ἔνκατα τοῦ ζῴου· ἔασον δὲ ἡμέραν α′, νυκτὸς δὲ ὥρας θ′ ἆρον καὶ ἀπόθου ἐν τόπῳ ἱερῷ, καὶ χρῶ ὡς καλλίστῳ. ὁσάκις ἂν βούλει ἐπιτάσσειν τῷ θεῷ, τὸν μέγιστον Οὐφωρα εἰπὼν ἐπίτασσε, καὶ τελεῖ· ἔχεις τὴν τελετὴν τοῦ μεγίστου καὶ θείου ἐνεργήματος. ὁ δὲ Οὐφωρ οὗτός ἐστιν, ᾧ Οὐρβικὸς ἐχρᾶτο. τὸ ἱερὸν Ὀὐφωρ, τὸ ἀληθές, διὰ πάσης συντομίας ἀληθῶς ἀναγέγραπται, δι’ οὗ ζωπυρεῖται πάντα πλάσματα καὶ γλυφαὶ καὶ ξόανα· τοῦτο γάρ ἐστ[ι]ν τὸ ἀληθές, τὰ δὲ ἄλλα, ὅσα φέρεται διὰ μακρῶν, ἐψευδηγόρηται μῆκος εἰκαῖον περιέχοντα. ὃ καὶ ἔχε ἐν ἀποκρύφῳ ὡς μεγαλομυστήριον. κρύβε, κρύβε. ἔστιν δὲ ἀρχή · ‘Ἠνοίγησαν αἱ πύλαι τοῦ οὐρανοῦ, ἠνοίγησαν αἱ πύλαι τῆς γῆς. ἠνοίγη 〈ἡ〉 ὅδευσις τῆς θαλάσσης, ἠνοίγη ἡ ὅδευσις τῶν ποταμῶν, ἠκούσθη μου τὸ πνεῦμα ὑπὸ πάντων θεῶν καὶ δαιμόνων, ἠκούσθη μου τὸ πνεῦμα ὑπὸ πνεύματος οὐρανοῦ, ἠκούσθη μου τὸ πνεῦμα ὑπὸ πνεύματος ἐπιγείου, ἠκούσθη μου τὸ πνεῦμα ὑπὸ πνεύματος θαλασσίου, ἠκούσθη μου τὸ πνεῦμα ὑπὸ πνεύματος ποταμίου. δότε οὖν πνεῦμα τῷ ὑπ’ ἐμοῦ κατεσκευασμένῳ μυστ[ηρ]ίῳ, θε〈οί〉, οὓς ὠνόμασα καὶ ἐπικέκλημαι. δότε πνοὴν τῷ ὑπ’ ἐμοῦ κατεσκευασμένῳ μυστηρίῳ.‘ κρύβε, κρύβε τὸ ἀληθινὸν Οὐφωρ ἐν συντομίᾳ περιέχον τὴν ἀλήθειαν. ἐπίκλησις Οὔφωρος · ηι ιεου μαρειθ ηι ιεου μονθεαθι μονγιθ ηι ιεου Χαρεὼθ μονκηβ ηι ιεου σωχου σωρσωη ηι ιεου τιωτιω Οὐιήρ, ηι ιεου χαρωχσι Χαρμιώθ ηι ιεου σαθιμωουεηου ηι ιεου ραιραι Μουριραι ηι ιεου Ἀμοῦν ηει Οὐσῖρι ηι ιεου φιριμνουν ηι ιεου ανμορχαθι Οὐήρ ηι ιεου ανχερεφρενεψουφιριγχ ηι ιεου ορχιμορωιπουγθ ηι ιεου μαχψαχαθανθ ηι ιεου μοροθ Δημοκρίτου Σφαῖρ α . [345]

12 (350) προγνωστικὸν ζωῆς καὶ θανάτου. γνῶθι, πρὸς τὴν σελήνην ἀνέπεσε νοσῶν καὶ τὸ ὄνομα τὸ ἐκ γενετῆς συνψήφισον τῇ σελήνῃ καὶ βλέπε, πόσαι τρ〈ι〉ακάδες γίνονται, καὶ τὰ περιλειπόμενα τοῦ ἀριθμοῦ κατανόησον εἰς τὴν ‘σφαῖραν‘, καὶ ἂν ᾖ ἄνω ἡ ψῆφος, ζήσει, ἐὰν δὲ κάτω, τελευτήσει. α ι ιθ β ια κ γ ιγ κγ δ ιδ κε ζ ις κς θ ιζ κζ ε ιε κβ ς ιη κη η κα κθ ιβ κδ λ Διακοπό ς . εἰς ταρίχου ὄστρακον ἐπίγραψον χαλκῷ γραφείῳ λόγον καὶ ἐπιδίωκε καὶ θές, ὅπου εἰσίν, ὅπου ὑποστρέφονται, ἐπιλέγων ἅμα καὶ τὸν λόγον· ‘ἐπικαλοῦμαί σε τὸν ἐπὶ κενῷ πνεύματι δεινόν, ἀόρατον, μέγαν θεόν, τὸν πατάξαντα γῆν καὶ σείοντα τὸν κόσμον, ὁ φιλῶν ταραχὰς καὶ μισῶν εὐσταθείας καὶ σκορπίζων τὰς νεφέλας ἀπ’ ἀλ[λ]ήλων, Ἰαια Ἰακούβ ιαι, Ἰὼ Ἐρβήθ, Ἰὼ Πακερβήθ, Ἰὼ Βολχοσήθ, βασδουμα, Παταθνάξ, αποψς οσεσρω αταφ θαβραου ηω

θαθθαβρα βωραρα αροβρειθα, Βολχοσήθ, κοκκολοιπτολη ραμβιθνιψ, δότε τῷ δεῖνα τῆς δεῖνα μάχην, πόλεμον, καὶ τῷ δεῖνα τῆς δεῖνα ἀηδίαν, ἔχθραν, ὡς εἶχον Τυφῶν καὶ Ὄσιρις. (εἰ δὲ ἀνήρ ἐστιν καὶ γυνή· 'ὡς εἶχον Τυφῶν καὶ Ἶσισ'.) ἰσχυρὲ Τυφῶν, μεγαλοδύναμε, τὰς σὰς δυνάμεις ἀποτέλει.' Ἀγρυπνητικό ν . λαβὼν νυκτερίδαν ζῶσαν ἐπὶ τῆς δεξιᾶς πτέρυγος ζωγράφησον ζμύρνῃ τὸ ὑποκείμενον ζῴδιον, ἐπὶ τῆς ἀριστερᾶς τὰ ζʹ ὀνόματα κατάγραψον θεοῦ καὶ ὅτι· 'ἀγρυπνείτω ἡ δεῖνα, ἣν δεῖνα, ἕως συνφωνήσῃ.' καὶ οὕτως αὖ αὐτὴν ἀπόλυσον. ἐν ἀποκρούσει δὲ αὐτὸ ἀποτέλει τριταίας οὔσης τῆς θεοῦ, καὶ ἄυπνος τελευτήσει μὴ διαμηκύνασα ἡμέρας ζʹ. λύσιν οὐκ ἔχει τοῦτο οὐδεπώποτε. ἐὰν δὲ βουλεύῃ ποτέ, μὴ ἀπόλυε αὐτήν, ἀλλ' ἔχε τηρουμένην αὐτήν, καὶ τὸ αὐτὸ ποιεῖ. ὅτε δὲ βούλει λῦσαι, ἐξαλείψας πηγαίῳ ὕδατι 〈τὰ〉 ἐπὶ τῶν πτερύγων καταγραφέντα ἀπόλυσον τὸ ὀρνύφιν. τοῦτο δὲ μὴ πράττε, εἰ μὴ ἐπὶ μεγάλης ἐπιβουλῆς. ἔστιν οὖν τὸ ζῴδιον τόδε. τὰ δὲ ὀνόματα ἐπὶ τῆς ἀριστερᾶς πτέρυγος κα[τ]αγραφόμενά εἰσιν ταῦτα· 'ἐπικαλοῦμαί σε, τὴν μεγίστην θεόν, θαθαβαθαθ πετενναβουθι πεπτου Βαστ Εἰησοῦς Οὐαιρ Ἀμοῦν ουθι ασχελιδονηθ βαθαριβαθ. ἀγρυπνείτω ἡ δεῖνα δι' ὅλης νυκτός τε καὶ ἡμέρας, ἕως θάνῃ, ἤδη ἤδη, ταχὺ ταχύ.' Πρὸς ἐπιχάρειαν καὶ φιλίαν διὰ παντός· λαβὼν ῥίζαν πασιθέαν ἢ ἀρτεμισίαν ἐπίγραφε τὸ ὄνομα τοῦτο ἁγνῶς [Magical Character][Magical Character] Λ [Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character][Magical Character] L καὶ φόρει, καὶ ἔσῃ καὶ ἐπίχαρις καὶ προσφιλὴς καὶ θαυμαστὸς τοῖς ὁρῶσί σε. ἡ ἀναγραφή· ζμύρνης δραχμὴ αʹ, μίσυος δραχμαὶ δʹ, χαλκάνθου δραχμαὶ βʹ, κηκίδων δραχμαὶ βʹ, κόμεως δραχμαὶ γʹ. Ἑρμηνεύματα ἐκ τῶν ἱερῶν μεθηρμηνευμένα, οἷς ἐχρῶντο οἱ ἱερογραμματεῖς. [395]

12 (400) διὰ τὴν τῶν πολλῶν περιεργίαν τὰς βοτάνας καὶ τὰ ἄλ[λ]α, οἷς ἐχρῶντο, εἰς θεῶν εἴδωλα ἐπέγραψαν, ὅπως μὴ εὐλαβούμενοι περιεργάζωνται μηδὲν διὰ τὴν ἐξακολούθησιν τῆς ἁμαρτίας. ἡμεῖς δὲ τὰς λύσεις ἠγάγομεν ἐκ τῶν πολλῶν ἀντιγράφων καὶ κρυφίμων πάντων. ἔστι δέ· κεφαλὴ [ὄ]φεως· βδέλλα. ἀγαθὶς ὄ[φ]εως· κηρίτην λέγει. αἷμα ὄφ[ε]ως· αἱματίτης λίθος. ὀστοῦν ἴ[β]εως· ῥάμνος ἐστίν. αἷμα χοιρ[ο]γρύλλου· ἀληθῶς χοιρογρύλλου. δάκρυα κυ[ν]οκεφάλου· χυλὸς ἀννήθου. ἀφόδευμα κορκοδείλου· Αἰθιοπικὴν [γ]ῆν. αἷμα κυνοκεφάλου· αἷμα καλαβώτου. λέοντος γόνος· ἀνθρώπου γόνος. αἷμα Ἡφαίστου· ἀρτεμισία. τρίχες κυνοκεφάλου· ἀννήθου σπέρμα. γόνος Ἑρμοῦ· ἄννηθον. αἷμα Ἄρεως· ἀνδράχνη. αἷμα ὀφθαλμοῦ· ἀκακαλλίδα. αἷμα ἀπ' ὤμου· ἄκανθις. ἀπ' ὀσφύος· ἀνθέμιον. χολὴ ἀνθρώπου· βύνεως χυλός. οὐρὰ χο[ί]ρου· σκορπίουρον. ὀστοῦν ἰατροῦ· ἀμμίτην λ[ίθ]ον. Ἑστίας αἷμα· ἀνθέμιον. ἀετόν· ὁ σελεγβεί. αἷμα χηναλώπεκος· γάλα συκαμίνης. ἄρωμα Κρόνου· γάλα χοιριδίου. τρίχες λέοντος· βύνεως γλῶσσα. αἷμα Κρόνου· κεδρίας ... γόνος Ἡλίου· ἐλλέβορος λευκός. γόνος Ἡρακλέους· εὔζωμον λέγει. 〈αἷμα〉 ἀπὸ Τιτᾶνος· θρίδαξ ἀγρία. αἷμα ἀπὸ κεφαλῆς· θέρμος. γόνος ταύρου· ὠὸν κ[α]νθάρου. καρδία ἱέρακος· ἀρτεμισίας καρδία. γόνος Ἡφαίστου· κόνυζα〈ν〉 λέγει. γόνος Ἄμμωνος· κρινάνθεμον. γόνος Ἄρεως· τρίφυλλον. στῆρ ἀπὸ κεφαλῆς· τιθύμαλλον. ἀπὸ κοιλίας· χαμαίμηλον. ἀπὸ ποδός· χρυσόσπερμον. θ[η]ς ο[χ]βολ ηθ η Ἰω [Ἐρ]βη[θ] ξανθ θβηχερ ιωοσεσρωι . ρηε . ανεμεηλ υηοτ . οαχωι ωσπερθναξ βραχ κραβ βραχ βασφυχθωι βι ανοιχ Ἰω [Ἐρ]βηθ ἀπωψι παταθνακ αἰθρουφ Ἰω Πακερβηθ Ἰωβολχοσηθ θαλακα ξα[ν]θα[π] . [445]

12 (450) .. Ἐπικαλοῦμαί σε [τὸ]ν ἐ[ν] τ[ῷ] κ[ε]νῷ [πνε]ύματι, δεινόν, ἀόρα[το]ν θεὸν φθοροποιὸν καὶ ἐρημοποιόν, [μ]ισοῦντα οἰκίαν εὐσταθοῦσαν καὶ ἄ[ο]πον πράσσοντα· ἐπικαλοῦμαί σου τ[ὸ] μέγα ὄνομα· ποίησον τὸν δεῖνα διαχωρισθῆναι ἀπὸ τοῦ δεῖνα, ϊω ϊω ϊωβραχ κραβρουκριου βατριου απομψ στρουτελιψ Ἰακο[υβ .... ] Ἰὼ [πακ]ερβηθ πακερβηθ θεοῦ αιη θεὸν θεῶ[ν .. ]εκαρως ἐπὶ τῆς πύλης τοῦ Ἰάω· διάκοψον [τ]ὸν δεῖνα ἀπὸ τοῦ δεῖνα, ὅτι ἐγώ εἰμι ὁ Ξανθις δαί[μω]ν ουβαθ . ε .. τεβερετερρι ...... ει ..... [διά]κοψον τὸ[ν δεῖνα ἀπὸ τ]οῦ δεῖνα. ιαι

ιωβιαι [Ἰωβολχο]σηθ Ἰω Ἐρβηθ απομψ [πα]ταθναξ βασυμ ἔγειρέ σε ἀποβαίνων, ἐπὶ ἐνχειρήσεως εἶργε ἀπα[ν]τήσε[ι]ς θω[ῆ]ς ἑκάστ[ης.] αμεσωρ αλβαναχαμβρη ... αειν αθρου αθροηρ ιαβαωθ . αιδιω ωριχ θαμβιτω Ἀβρααμ ὁ ἐπι .... ... πλανοιεγχιβιωθ μου ρου ὅλην τε τὴν ψυχὴν τῇ δεῖνα, [ἣν δεῖνα,] [καὶ τὸ γυν]αικεῖον σῶμα τῆς δεῖνα, [ἣν δεῖνα·] ἐξ[ορκί]ζω ὑμᾶς κατὰ τοῦ [ ] [ .. κα]ὶ [ἐ]κπυρῶσαι τὴν δεῖνα, ἣν [δεῖνα.] αλ[λ]ανθ βιρειβα μετιρα εμεθ[ιρ]ε θαραβλαθ φνουθε θουχαρα ωσουχαρ[ι] σαβαχαρ [ ] καῦσον τὴν δεῖνα, ἕως [ἔλ]θῃ πρὸς ἐμὲ τὸν δεῖνα, ἤδ[η ἤ]δη, ταχὺ ταχύ. ἐ[ξο]ρκίζω ὑμᾶς, [ν]εκυδαίμων[α]ς, 〈κατὰ〉 νεκύ[ων] καὶ το[ῦ δ]αίμων[ο]ς τοῦ Βαλ[σάμου] καὶ το[ῦ θεοῦ] κυ[νο]πρ[ο]σώπου καὶ τῶν σὺν αὐτῷ θεῶ[ν ... ] [ΘΕΟΣ] ΘΕΟΙ Βίβλος ἱερὰ ἐπικαλουμένη Μονὰς ἢ Ὀγδόη Μοϋσέως περὶ τοῦ ὀνόματος τοῦ ἁγίου. [490]

13 περιέχει δὲ οὕτως· ἁγνὸς μεῖνον ἡμέρας μα′ προψηφίσας, ἵνα εἰς τὴν σύνοδον τὴν ἐν κριῷ καταντήσῃ. ἔχε δὲ οἶκον ἐπίπεδον, ὅπου πρὸ ἐνιαυτοῦ οὐδεὶς ἐτελεύτησε, —ἔστω δὲ ἡ θύρα πρὸς δυσμὰς βλέπουσα—καὶ ἀναπήξας μέσον τοῦ οἴκου βωμὸν γέϊνον καὶ ξύλα κυπαρίσσινα, στροβίλους δεξιοὺς δέκα, ἀλέκτορας δύο λευκούς, ἀσινεῖς τελείους, καὶ λύχνους δύο τεταρτημορίους πληρώσας ἐλαίου χρηστοῦ. καὶ μηκέτι ἐπιχέῃς· εἰσελθόντος γὰρ τοῦ θεοῦ περισσότερον ἐξαφθήσονται. ἀπηρτίσθω δὲ ἡ τράπεζα τοῖς ἐπιθύμασι τούτοις, συνγενικοῖς οὖσι τοῦ θεοῦ—ἐκ δὲ ταύτης τῆς βίβλου Ἑρμῆς κλέψας τὰ ἐπιθύματα ζ′ προσεφώνησεν 〈ἐν〉 ἑαυτοῦ ἱερᾷ βύβλῳ ἐπικαλουμένῃ ‘Πτέρυγι‘—τοῦ μὲν Κρόνου στύραξ (ἔστιν γὰρ βαρὺς καὶ εὐώδης), τοῦ δὲ Διὸς μαλάβαθρον, τοῦ δὲ Ἄρεως κόστος, τοῦ δὲ Ἡλίου λίβανον, τῆς δὲ Ἀφροδίτης νάρδος Ἰνδικός, τοῦ δὲ Ἑρμοῦ κασία, τῆς δὲ Σελήνης ζμύρνα. ταῦτά ἐστιν τὰ ἀπόκρυφα ἐπιθύματα. ὃ δὲ λέγει ἐν τῇ ‘Κλειδί‘ Μουσῆς· ‘σκευάσεις ἐπὶ παντὸς ὄροβον ἡλιακόν‘, κύαμον Αἰγύπτιον τούτοις λέγει. καὶ—ταῦτα δὲ ὁ Μανεθὼς ἔλεγε ἐν ἰδίᾳ βίβλῳ—ἐντεῦθεν βαστάσας τὰ ζ′ ἄνθη τῶν ζ′ ἀστέρων, ἅ ἐστι σαμψούχινον, κρίνινον, λώτινον, ἐρεφύλλινον, ναρκίσσινον, λευκόϊνον, ῥόδον. ταῦτα τὰ ἄνθη πρὸ εἴκοσι μιᾶς ἡμέρας τῆς τελετῆς λειοτρίβησον εἰς λευκὴν θυίαν καὶ ξήρανον ἐν σκιᾷ καὶ ἔχε αὐτὰ ἕτοιμα εἰς τὴν ἡμέραν ἐκείνην. πρότερον δὲ συνιστάνου οἵᾳ δήποτ’ οὖν νεομηνίᾳ κατὰ θεὸν τοῖς ὡρογενέσιν θεοῖς, οἷς ἔχεις ἐν τῇ ‘Κλειδί‘. τελεσθήσῃ δὲ αὐτοῖς οὕτως· ποίησον ἐκ σεμιδάλεως ζῴδια γ′· ταυροπρόσωπον, τραγοπρόσωπον, κριοπρόσωπον, ἓν ἕκαστον αὐτῶν ἐπὶ πόλου ἑστῶτα, μάστιγας ἔχοντα Αἰγυπτίας, καὶ περικαπνίσας κατάφαγε λέγων τὸν λόγον τῶν ὡρογενῶν, τὸν ἐν τῇ ‘Κλειδί‘, καὶ τὸν ἐπάναγκον αὐτῶν καὶ τοὺς ἐφεβδοματικοὺς τεταγμένους, καὶ ἔσῃ 〈τε〉 τελεσμένος αὐτοῖς. εἶτα τῇ καθολικῇ συστάσει ἔχε νίτρον τετράγωνον, εἰς ὃ γράψει[ς] τὸ μέγα ὄνομα ταῖς ἑπτὰ φωναῖς. ἀντὶ δὲ τοῦ ποππυσμοῦ καὶ τοῦ συριγμοῦ γράψον εἰς τὸ ἓν μέρος τοῦ νίτρου κορκόδειλον ἱερακοπρόσωπον καὶ αὐτῷ ἐφεστῶτα τὸν ἐννεάμορφον· αὐτὸς γὰρ ὁ ἱερακοπρόσωπος κορκόδειλος εἰς τὰς δ′ τροπὰς τὸν θεὸν ἀσπάζεται τῷ ποππυσμῷ· ἀναπνεύσας γὰρ ποππύζει ἐκ τοῦ βυθοῦ, καὶ ἀντιφωνεῖ αὐτῷ ὁ τὰς θ′ μορφὰς 〈ἔχων〉. διὸ ἀντὶ τοῦ ποππυσμοῦ τὸν ἱερακοπρόσωπον κορκόδειλον γράφε· ἔστιν γὰρ ἡ πρώτη κεραία τοῦ ὀνόματος ὁ ποππυσμός. δεύτερον συριγμός· ἀντὶ δὲ τοῦ συριγμοῦ δράκοντα δάκνοντα τὴν οὐράν, ὥστε εἶναι τὰ δύο, ποππυσμὸν καὶ συριγμόν, ἱερακοπρόσωπον κορκόδειλον καὶ ἐννεάμορφον ἐπάνω ἑστῶτα καὶ κύκλῳ τούτων δράκοντα καὶ τὰς ἑπτὰ φωνάς. [45]

13 (50) ἔστιν δὲ ὀνόματα θ′, ὧν πρόλεγε τοὺς ὡρογενεῖς σὺν τῇ στήλῃ καὶ τοὺς ἡμερεσίους 〈καὶ〉 τοὺς ἐφεβδοματικοὺς τεταγ〈μ〉ένους καὶ τούτων τὸν ἐπάναγκον. ἄτερ γὰρ τούτων ὁ 〈θ〉εὸς οὐκ ἐπακούσεται, ἀλλ’ ὡς ἀμυστηρίαστον οὐ παραδέξεταί 〈σε〉, εἰ μὴ τὸν κύριον τῆς ἡμέρας προείπῃς καὶ τῆς ὥρας πυκνότερον, ἣν εὑρήσεις ἐπὶ τέλους διδαχήν. ἄτερ γὰρ αὐτῶν οὐδὲ ἓν ἀπεργάσει, ἐν οἷς ἔχεις ἐν τῇ ‘Κλειδί‘. ἔστιν δὲ ἡ ἱερὰ στήλη ἡ ἐν τῷ νίτρῳ γραφομένη· ‘ἐπικαλοῦμαί σε τὸν πάντων μείζονα, τὸν πάντα κτίσαντα, σὲ τὸν α〈ὐ〉τογέννητον, τὸν

πάντα ὁρῶντα καὶ μὴ ὁρώμενον· σὺ γὰρ ἔδωκας ἡλίῳ τὴν δόξαν καὶ τὴν δύναμιν ἅπασαν, σελήνην αὔξειν καὶ ἀπολήγειν καὶ δρόμους ἔχειν τακτούς, μηδὲν ἀφαιρήσας τοῦ προγενεστέρου σκότους, ἀλλ' ἰσότητα αὐτῶν ἐμέρισας· σοῦ γὰρ φανέντος καὶ κόσμος ἐγένετο καὶ φῶς ἐφάνη. σοὶ πάντα ὑποτέτακται, οὗ οὐδεὶς θεῶν δύναται ἰδεῖν τὴν ἀληθινὴν μορφήν. ὁ μεταμορφούμενος εἰς πάντας, ἀόρατος εἶ Αἰὼν Αἰῶνος. ἐπικαλοῦμαί σε, κύριε, ἵνα μοι φανῇς ἀγαθῇ μορφῇ, ὅτι δουλεύω ὑπὸ τὸν σὸν κόσμον τῷ σῷ ἀγγέλῳ, Βιαθιαρβαρ βερβιρ σχιλατουρ βουφρουμτρωμ, καὶ τῷ σῷ Φόβῳ, Δανουφ Χρατορ Βελβαλι Βαλβιθ, Ἰάω. διὰ σὲ συνέστηκεν ὁ πόλος καὶ ἡ γῆ. ἐπικαλοῦμαί σε, κύριε, ὡς οἱ ὑπό σου θεοὶ φανέντες, ἵνα δύναμιν ἔχωσιν Ἐχεβυκρωμ Ἡλίου, οὗ ἡ δόξα· 'ααα ηηη ωωω ιιι ααα ωωω Σαβαώθ, Αρβαθιαω. Ζαγουρη, ὁ θεὸς Αραθυ Ἀδωναῖε.' ἐπικαλοῦμαί σε, κύριε, ὀρνεογλυφιστί· 'ἀραί', ἱερογλυφιστί· 'λαϊλαμ', ἁβραϊστί· 'ἀνοχ Βιαθιαρβαθ βερβιρ εχιλατουρ βουφρουμτρομ', αἰγυπτιστί· ''Αλδαβαειμ', κυνοκεφαλιστί· ''Αβρασάξ'. ἱερακιστί· 'χι χι χι χι χι χι χι τιφ τιφ τιφ', ἱερατιστί· 'μενεφωϊφωθ· χα χα χα χα χα χα χα'. εἶτα κρότησον γ', πόππυσον μακρόν, σύρισον ἐπὶ μῆκος. 'ἧκέ ⟨μοι⟩ , κύριε, ἀμώμητος καὶ ἀπήμαντος, ὁ μηδένα τόπον μιαίνων, ὅτι τετέλεσμαί σου τὸ ὄνομα.' ἔχε δὲ πινακίδα, εἰς ἣν μέλ ⟨λ⟩ εις γρ ⟨ά⟩ φ ⟨ε⟩ ιν, ὅσα σοι λέγει, καὶ μαχαῖριν ὁλοσίδηρον δίστομον, ἵν' ἐὰν τὰ θύματα θύῃς, καθαρὸς ἀπὸ πάντων, καὶ σπονδή ⟨ν⟩ , οἴνου κεράμιον καὶ ἀγγεῖον μέλιτος μεστόν, ἵνα ἃ ⟨ν⟩ σπείσῃς. πάντα δέ σοι παρακείσθω ἕτοιμα. σὺ δὲ ἐν λίνοις ἴσθι καθαροῖς ἐστεμ ⟨μ⟩ ένος ἐλαΐνῳ στεφάνῳ, ποιήσας τὸν πέτασον οὕτως· λαβὼν σινδόνα καθαρὰν ἔνγραψον κροσῷ τοὺς τξε' θεούς, ποίησον καλύβην, ὑφ' ἣν ἴθι τελούμενος. [95]

13 (100) ἔχε δὲ καὶ κατὰ τοῦ τραχήλου κιννάμμωμον· αὐτῷ γὰρ ἥδεται τὸ θεῖον καὶ τὴν δύναμιν παρέσχετο. ἔχε δὲ καὶ ἐκ ῥίζης δάφνης τὸν συνεργοῦντα Ἀπόλλωνα [γε]γλυμμένον, ᾧ παρέστηκεν τρίπους καὶ Πύθιος δράκων. γλύψον δὲ περ ⟨ὶ⟩ τὸν Ἀπόλλων ⟨α⟩ τὸ μέγα ὄνομα Αἰγυπτιακῷ σχήματι· ἐπὶ τοῦ στήθους ἀναγραμματιζόμενον τὸ 'Βαϊνχωωωχωωωχνϊαβ' καὶ κατὰ τοῦ νώτου τοῦ ζῳδίου τὸ ὄνομα τοῦτο 'ϊλϊλλου· ϊλϊλλου· ϊλϊλλου'. περὶ δὲ τὸν Πύθιον δράκοντα καὶ τὸν τρίποδα· 'ιθωρ μαρμαραυγὴ φωχω ·φωβωχ.' ἔχε δὲ τοῦτο κατὰ τοῦ τραχήλου τελέσας συνεργὸν ὂν τῶν πάντων μετὰ τοῦ κινναμμώμου. προαγνεύσας οὖν, ὡς προεῖπον, πρὸ ἑπτὰ ἡμερῶν σελήνης λειπούσης, κατὰ τὴν σύνοδον χαμαικοιτῶν ἐπὶ ψιάθου θρυΐνης, κατὰ πρωὶ ἀνιστανόμενος τὸν ἥλιον χαιρέτισον ἐπὶ ἑπτὰ ἡμέρας καθ' ἡμέραν λέγων τοὺς ὡρ ⟨ο⟩ γενεῖς θεοὺς πρῶτον, εἶτα τοὺς ἐφεβδοματικοὺς τεταγμένο ⟨υ⟩ ς. μαθὼν δὲ τὸν κύριον τῆς ἡμέρα ⟨σ⟩ ἐκεῖνον ἐνόχλει λέγων· 'κύριε, τῇ πόστῃ καλῶ τὸν θεὸν εἰς τὰς ἱερὰς θυσίας,' οὕτω ποιῶ ⟨ν⟩ ἄχρι τῆς ὀγδόης ἡμέρας. ἐλθὼν οὖν ἐπὶ τὴν ἡμέραν τὸ μεσονύκτιον ὥρᾳ πέ ⟨μ⟩ πτῃ, ὅταν ἡσυχία γένηται, ἀνάψας τὸν βωμὸν ἔχε παρεστῶτας τοὺς δύο ἀλεκτρυόνας καὶ τοὺς δύο λύχνους —ἤτωσαν δὲ οἱ λύχνοι τεταρτημόριοι—ἡμμένους, οἷς οὐκέτι ἐπιβαλεῖς ἔλαιον. ἄρξαι λέγειν τὴν στήλην καὶ τὸ μυστήριον τοῦ θεοῦ, ὅ ἐστιν κάνθαρος. ἔχε δὲ κρατῆρα παρακείμενον ἔχοντα γάλα μελαίν ⟨η⟩ ς βοὸς καὶ οἶνον ἀθάλασ ⟨σ⟩ ον. ἔστιν γὰρ ἀρχὴ καὶ τέλος. γράψας οὖν εἰς τὰ δύο μέρη τοῦ νίτρου τὴν στήλην, ἀπόλειξον τὸ ἓν μέρος καὶ τὸ ἕ ⟨τερο⟩ ν βρέξας εἰς τὸν κρατῆρα ἀπόπλυνε. γραφέσθω δὲ τὸ νίτρον ἐξ ἀμφοτέρων, τῶν ἐπιθυμάτων καὶ τῶν ἀνθέων. πρὸ τοῦ δέ σε ἀπορροφᾶν τὸ γάλα καὶ τὸν οἶνον ἐπερεῖς τὴν ἐντυχίαν ταύτην, καὶ εἰπὼν κατάκου ἐπὶ τῶν στρωμάτων κατέχων καὶ τὴν πινακίδα καὶ τὸ γραφεῖον καὶ λέγε. Ἑρμαϊκός· 'ἐπικαλοῦμαί σε, τὸν τὰ πάντα περιέχοντα, πάσῃ φωνῇ καὶ πάσῃ διαλέκτῳ, ὡς πρ ⟨ώ⟩ τως ὕμνησέ σε ὁ ὑπό σου ταχθεὶς καὶ πάντα πιστευθεὶς τὰ αὐθεντικά, Ἥλιος Ἀχεβυκρωμ (ἣ μηνύει τοῦ δίσκου τὴν φλόγα καὶ τὴν ἀκτῖνα), οὗ ἡ δόξα· ααα· ηηη· ωωω, ὅτι διὰ σὲ ἐνεδοξάσθη ⟨ἀέρασ⟩ , εἶθ' ὡσαύτως ἀγλαομορφουμένους τοὺς ἀστέρας ἱστὰς καὶ τῷ φωτὶ τῷ ἐνθέῳ κτίζων τὸν κόσμον ιιι· ααα ωωω, ἐν ᾧ διέστησας τὰ πάντα, Σαβαώθ· Ἀρβαθιάω· Ζαγουρη. οὗτοί εἰσιν οἱ πρῶτοι φανέντες ἄγγελοι· Ἀραθ· Ἀδωναῖε· Βασημμ Ἰάω. ὁ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρῶτος ἄγγελος φωνεῖ ὀρνεογλυφιστί· ‘ἀραί,‘ ὅ ἐστιν ⟨‘οὐαὶ τῷ ἐχθρῷ μου,‘ καὶ ἔταξας αὐτὸν⟩ ἐπὶ τῶν Τιμωριῶν. ὁ δὲ Ἥλιος ὑμνεῖ σε ἱερογλυφιστί· ‘Λαΐλαμ‘, ἁβραϊστὶ δὲ διὰ τοῦ αὐτοῦ ὀνόματος· ‘ἀνοκ Βιαθιαρβα[ρ]βερβιρσχι λατουρβουφρουμτρωμ‘ (γράμματα λϛ′) λέγων· ‘προάγω σου, κύριε, ἐγὼ ἐπὶ τῆς βάρεως ἀνατέλλων, ὁ δίσκος, διά σε.

‘ τὸ δὲ φυσικόν σου ὄνομα αἰγυπτιστί· ‘Ἀλδαβιαειμ‘ (γράμματα θ′, κάτω). ἔστιν δὲ ὁ ἐπὶ τῆς βάρεως φανεὶς συνανατέλλων κυνοκεφαλοκέρδων. ἰδίᾳ διαλέκτῳ ἀσπάζεταί σε λέγων· ‘σὺ εἶ ὁ ἀριθμὸς τοῦ ἐνιαυτοῦ· Ἀβρασ⟨ά⟩ξ.‘ ὁ δὲ ἐπὶ τοῦ ἑτέρου μέρο⟨υ⟩ς ἱέραξ ἰδίᾳ φωνῇ ἀσπάζεταί σε καὶ ἐπιβοᾶται, ἵνα λάβῃ τροφήν· χι· χι· χι· χι· χι· χι· χι: τιπ· τιπ· τιπ· τιπ· τιπ· τιπ· τιπ:‘ ὁ δὲ ἐννεάμορφος ἀσπάζεταί σε ἱερατιστί· ‘Μενεφωϊφωθ‘, λέγων μηνύει ὅτι· ‘προάγω σου, κύριε‘.‘ εἰπὼν ἐκρότησε γ′, καὶ ἐγέλασεν ὁ θεὸς ζ′· ‘χα χα χα χα χα χα χα.‘ γελάσαντος δὲ τοῦ θεοῦ ἐγεννήθησαν θεοὶ ζ′, οἵτινες τὸν κόσμον περιέχουσιν. (ἄνω.) οὗτοι γάρ εἰσιν οἱ προφανέντες. κακχάσαντος πρῶτον αὐτοῦ ἐφάνη Φῶς (Αὐγή) καὶ διηύγασεν τὰ πάντα. ἐγένετο δὲ θεὸς ἐπὶ τοῦ κόσμου καὶ τοῦ πυρός, Βεσσυν βεριθεν βεριο. ἐκάχασεν δὲ β′· ἦν πάντα ὕδωρ. ἀκούσασα ἡ Γῆ ἤχου⟨σ⟩ ἐξεβόησεν καὶ ἐκύρτανεν, καὶ ἐγένετο τὸ ὕδωρ τριμερές. ἐφάνη θεός, ἐτάγη ἐπὶ τῆς ἀβύσσου· χωρὶς γὰρ αὐτοῦ οὔτε αὔξει τὸ ὑγρὸν οὔτε ἀπολήγει. ἔστιν δὲ αὐτοῦ τὸ ὄνομα· ‘Ἐσχακλεω. σὺ γὰρ εἶ· ωηαι, εἶ ὢν βεθελλε.‘ βουλ⟦ευ⟧ομένου δὲ τὸ γ′ κακχάσαι ἐφάνη διὰ τῆς πικρίας τοῦ θεοῦ Νοῦς (ἢ Φρένες) κατέχων καρδίαν· ἐκλήθη Ἑρμῆς, ἐκλήθη Σεμεσιλάμ. ἐκάχασε τὸ τέταρτον ὁ θεός, καὶ ἐφάνη Γέννα κρατοῦσα σποράν. ἐκλήθη δὲ Βαδητοφωθ Ζωθαξαθωζ. ἐγέλασε τὸ πέμπτον καὶ γελῶν ἐστύγνασε, καὶ ἐφάνη Μοῖρα κατέχουσα ζυγόν, μηνύουσα ἐν ἑαυτῇ τὸ δίκαιον εἶναι. ὁ δὲ Ἑρμῆς συνηρίσθη αὐτῇ λέγων· ‘ἐν ἐμοί ἐστι τὸ δίκαιον.‘ (ἄνω.) τῶν δὲ μαχομένων ὁ θεὸς ἔφη· ‘ἐξ ἀμφοτέρων τὸ δίκαιον φανήσεται, πάντα δὲ ὑπὸ σὲ ἔσται τὰ ἐν κόσμῳ.‘ καὶ πρώτη τὸ σκῆπτρον ἔλαβε τοῦ κόσμου, ἧς τὸ ὄνομα ἀναγραμματιζόμενον μέγα ἐστὶν καὶ ἅγ⟨ι⟩ον καὶ ἔνδοξον. ἔστι δὲ τοῦτο· ‘θοριοβριτιταμμα ωρραγγαδωιωδαγγαρρωαμματιτιρβοιροθ‘ (γράμματα μθ′). ἐκάκχασε τὸ ἕκτον καὶ ἱλαρύνθη πολύ. καὶ ἐφάνη Καιρὸς κατέχων σκῆπτρον, μηνύων βασιλείαν, καὶ ἐπέδωκεν τῷ θεῷ τῷ πρωτοκτιστῷ τὸ σκῆπτρον, καὶ λαβὼν ἔφη· ‘σὺ τὴν δόξαν τοῦ Φωτὸς περιθέμενος, ἔσῃ μετ’ ἐμέ‘ .... ‘ἀνοχ Βιαθιαρ βαρβερβιρ σιλατουρβου φρουμτρωμ‘ (γράμματα λϛ′). ἕβδομον κακχάσαντος τοῦ θεοῦ ἐγένετο Ψυχή, καὶ κακχάζων ἐδάκρυσε. ἰδὼν τὴν Ψυχὴν ἐσύρισε, καὶ ἐκύρτανε ἡ γῆ καὶ ἐγέννησε Πύθιον δράκοντα, ὃς τὰ πάντα προῄδει. ἐπεκάλεσε δὲ αὐτὸν ὁ θεός· ‘Ἰλιλλου· ἰλιλλου· ἰλιλλου· ἰλιλλου· Ἰθωρ, μαρμαραυγή, φωχω φωβωχ.‘ ἰδὼν τὸν δράκοντα ὁ θεὸς ἐθαμβήθη καὶ ἐπόππυσε. ποππύσαντος τοῦ θεοῦ ἐφάνη ἔνοπλός τις, ὃς καλεῖται· ‘Δανουπ Χρατορ Βερβαλι Βαρβιθ.‘ ἰδὼν ὁ θεὸς πάλιν ἐπτοήθη, ὡς ἰσχυρότερον θεωρήσας, μήποτε ἡ γῆ ἐξέβρασε θεόν.

βλέπων κάτω εἰς τὴν γῆν ἔφη· ‘Ιαω‘. ἐγεννήθη θεὸς ἐκ τοῦ ἤχους, ὃς πάντων ἐστὶν κύριος. ἤρισεν αὐτῷ ὁ πρότερος λέγων· ‘ἐγὼ τούτου ἰσχυρότερός εἰμι‘. ὁ θεὸς ἔφη τῷ ἰσχυρῷ· ‘σὺ μὲν ἀπὸ ποππυσμοῦ τυνχάνεις, οὗτος δὲ ἐξ ἤχους. ἔσεσ⟨θ⟩ε ἀμφότεροι ἐπὶ πάσης ἀνάγκης.‘ ἐκλήθη δὲ ἔκτοτε ‘Δανουπ Χρατορ Βερβαλι Βαλβιθ, Ἰάω.‘ κύριε, ἀπομιμοῦμαι ταῖς ζ′ φωναῖς, εἴσελθε καὶ ἐπάκουσόν μοι· ‘α εε ηηη ιιιι οοοοο υυυυυυ ωωωωωωω, αβρωχ· βραωχ χραμμαωθ· προαρβαθω· Ἰάω ουαεηϊουω.‘ ἐπὰν εἰσέλθῃ ὁ θεός, κάτω βλέπε καὶ γράφε τὰ λεγόμενα καὶ ἣν δίδωσίν σοι αὐτοῦ ὀνομασίαν. μὴ ἐξέλθῃ δὲ ἐκ τῆς σκηνῆς σου, ἄχρι σοι καὶ τὰ περί σε εἴπῃ ἀκριβῶς. ἡ δὲ τοῦ πολεύοντος πῆξις περιέχει οὕτως· γνῶθι, τέκνον, τίνος ἡμέρα εἰς τὸ Ἑλληνικόν, καὶ ἐλθὼν εἰς τὴν ἑπτάζωνον μέτρει ἀποκάτωθεν καὶ εὑρήσεις. ἐὰν γὰρ ἡμέρα Ἡλίου εἰς τὸ Ἑλληνικόν, Σελήνη πολεύει, οὕτως καὶ οἱ ὕστεροι, οἷον Ἑλληνικόν· ἑπτάζωνος· Ἥλιος Κρόνος Σελήνη Ζεύς Ἄρης Ἄρης Ἑρμῆ⟨σ⟩ Ἥλιος Ζεύς Ἀφροδίτη Ἀφροδίτη Ἑρμῆς Κρόνος Σελήνη τούτων τὴν ἀκάματον λύσιν καὶ θεοφιλῆ προσεφώνησά σοι, τέκνον, ἣν οὐδὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βασιλεῖς ἴσχυσαν καταλαβέσθαι. ἐπιγράψεις δὲ τὸ νίτρον τῷ μέλανι τῷ διὰ τῶν ἀνθέων τῶν ζ′ 〈ἀστέρων〉 καὶ ἀρωμάτων. ὁμοίως καὶ ποιήσεις τὸν ὄροβον, ὃν ἀλληγορικῶς ἐν τῇ ‘Κλειδί‘ μου εἶπον, ἐκ τῶν ἀνθέων καὶ τῶν ἐπιθυμάτων, πλήρης ἡ τελετὴ τῆς Μονάδος προσεφωνήθη σοι, τέκνον. ὑποτάξω δέ σοι, τέκνον, καὶ τὰς χρείας τῆς ἱερᾶς βίβλου, ἃς πάντες οἱ σοφισταὶ ἐτέλησαν ἀπὸ ταύτης τῆς ἱερᾶς καὶ μακάριδος βίβλου. ὡς ἐξώρκισά σε, τέκνον, ἐν τῷ ἱερῷ τῷ ἐν Ἱερωσολύμῳ· πλησθεὶς τῆς θεοσοφίας ἀνεύρετον ποίησον τὴν βίβλον. ἔστιν οὖν πρώτη ἡ θαυμάσιος ἀμαυρ ά . λαβὼν ὠὸν ἱέρακος τὸ ἥμισυ αὐτοῦ χρύσωσον, τὸ δὲ ἄλλο ἥμισυ χρῖσον κινναβάρει. τοῦτο φορῶν ἀθεώρητος ἔσῃ ἐπιλέγων τὸ ὄνομα. ἐπὶ δὲ ἀγωγῆς πρὸς τὸν ἥλιον εἰπὲ γ′ τὸ ὄνομα· ἄγει γυναῖκα ἀνδρὶ καὶ ἄνδρα γυναικὶ ὥστε θαυμάσαι. ἐάν τινα θέλῃς μυρικῶσαι πρὸς ἄνδρα γυναῖκα ἢ ἄνδρα πρὸς γυναῖκα, λαβὼν ἀνφώδευμα κυνὸς βάλε κα 〈τὰ〉 τοῦ στροφέως τῆς θύρας αὐτῶν εἰπὼν τὸ ὄνομα γ′, λέγων· ‘διακόπτω τὸν δεῖνα ἀπὸ τοῦ δεῖνα.‘ ἐ 〈ὰ〉 ν δαιμονιζομένῳ εἴπῃς τὸ ὄνομα προσάγων τῇ ῥινὶ αὐτοῦ θεῖον καὶ ἄσφαλτον, εὐθέως λαλήσει, καὶ ἀπελεύσεται. ἐὰν εἴπῃς ἐπὶ ἐρυσιπέλατο ς , χρίσας αὐτὸ κορκοδείλου ἀφοδεύματι, εὐθέως ἀπαλλαγήσεται. ἐὰν εἴπῃς ἐπὶ σπάσματος ἢ συντρίμ 〈μ〉 ατος τὸ ὄνομα γ′, καταχρίσας γῆν μετὰ ὄξους, ἀπαλλάξεις. ἐὰν ἐπείπῃς ἐπὶ παντὸς πετεινοῦ εἰς τὸ ὠτίον, τελευτήσει. ἐὰν ἴδῃς ἀσπίδα καὶ θέλῃς αὐτὴν στῆσαι, λέγε στρεφόμενος ὅτι ‘στῆθι. [245]

13 (250) ‘ λέγεται τὰ ὀνόματα, καὶ στήσεται. θυμοκάτοχον · πρὸς βασιλέα ἢ μεγιστᾶνα εἴσαγε, τὰς χεῖρας ἐντὸς ἔχων λέγε τὸ ὄνομα 〈τ〉 ὸ δίσκου, βαλὼν ἅμμα τοῦ παλλίου σου ἢ τοῦ ἐπικαρσίου, καὶ θαυμάσεις. ἐὰν πρὸς λύσιν φαρμάκων · εἰς ἱερατικὸν κόλλημα γράψας τὸ ὄνομα φόρει. Ἡλίου δεῖξι ς . λέγε πρὸς ἀνατολάς· ‘ἐγώ εἰμι ὁ ἐπὶ τῶν δύο χερουβείν, ἀνὰ μέσον τῶν δύο φύσεων, οὐρανοῦ καὶ γῆς, ἡλίου τε καὶ σελήνης, φωτὸς καὶ σκότους, νυκτὸς καὶ ἡμέρας, ποταμῶν καὶ θαλάσσης· φάνηθί μοι, ὁ ἀρχάγγελος τῶν ὑπὸ τὸν κόσμον, αὐθέντα Ἥλιε, ὁ ὑπ’ αὐτὸν τὸν ἕνα καὶ μόνον τεταγμένος· προστάσσει σοι ὁ ἀεὶ καὶ μόνος.‘ λέγε τὸ ὄνομα. ἐὰν δὲ σκυθρωπὸς φανῇ, λέγε· ‘δὸς ἡμέραν, δὸς ὥραν, δὸς μῆνα, δὸς ἐνιαυτόν, κύριε τῆς ζωᾶς.‘ λέγε τὸ ὄνομα. ἐὰν θέλῃς ὄφιν ἀποκτεῖνα ι , λέγε· ‘στῆθι, ὅτι σὺ εἶ ὁ Ἀφυφισ‘ καὶ λαβὼν βάϊν χλωρὰν καὶ τῆς καρδίας κρατήσας σχίσον εἰς δύο ἐπιλέγων τὸ ὄνομα ζ′, καὶ εὐθέως σχισθήσεται ἢ ῥαγήσεται. πρόγνωσις ἥδε τῇ προειρημένῃ πράξει 〈γίνεται, τῇ διὰ τοῦ νίτρου, καὶ ὡς θεῷ διαλαλήσει σοι· σοῦ γὰρ παρόντος πολλάκις ἐποίησα τὴν πρᾶξιν. ἀβλεψίας δὲ οὕτως · ‘δεῦρό μοι, τὸ πρωτοφαὲς σκότος, καὶ κρύψον με προστάγματι τοῦ ὄντος ἐν οὐρανῷ αὐτογενέτορος, τὸν δεῖνα.‘ λέγε τὸ ὄνομα. [ἄλλως· ‘σὲ μόνον ἐπικαλοῦμαι, τὸν μόνον ἐν κόσμῳ διατά-] ξαντα θεοῖς καὶ ἀνθρώποις, τὸν ἑαυτὸν ἀλλάξαντα μορφαῖς ἁγίαις καὶ ἐκ μὴ ὄντων εἶναι ποιήσαντα καὶ ἐξ ὄντων μὴ εἶναι, Θαΰθ ἅγιος, οὗ οὐδεὶς ὑποφέρει θεῶν τὴν ἀληθινὴν ὄψιν ἰδεῖν τοῦ προσώπου. ποίησόν με γενέσθαι ἐν ὄμμασι πάντων κτισμάτων λύκον, κύνα, λέοντα, πῦρ, δένδρον, γῦπα, τεῖχος, ὕδωρ (ἢ ὃ θέλεις), ὅτι δυνατὸς εἶ.‘ λέγε τὸ ὄνομα. ἔγερσις σώματος νεκροῦ · ‘ὁρκίζω σε, πνεῦμα ἐν ἀέρι φοιτώμενον, εἴσελθε, ἐνπνευμάτωσον, δυνάμωσον, διαέγειρον τῇ δυνάμει τοῦ αἰωνίου θεοῦ τόδε τὸ σῶμα, καὶ περιπατείτω ἐπὶ τόνδε τὸν τόπον, ὅτι ἐγώ εἰμι ὁ ποιῶν τῇ δυνάμει τοῦ 〈Θ〉 αΰθ, ἁγίου θεοῦ.‘ λέγε τὸ ὄνομα. ἐὰν θέλῃς ἐπάνω κορκοδείλου διαβαίνει ν , καθίσας λέγε· ‘ἄκουέ μου, ὁ ἐν τῷ ὑγρῷ τὴν διατριβὴν ποιούμενος· ἐγώ εἰμι ὁ ἐν οὐρανῷ σχολὴν ἔχων φοιτώμενός τε ἐν ὕδατι καὶ ἐν πυρὶ καὶ ἐν ἀέρι καὶ γῇ. ἀπόδος χαριστήριον τῆς ἡμέρας ἐκείνης, ὅτε σε ἐποίησα καὶ ᾐτήσω με τὴν αἰτησίαν. διαπεράσεις 〈εἰσ〉 τὸ πέρα, ὅτι ἐγώ εἰμί τις.‘ λέγε τὸ ὄνομα. Δεσμόλυτο ν . λέγε· ‘κλῦθί μοι, ὁ Χριστός, ἐν βασάνοις, βοήθησον ἐν ἀνάγκαις, ἐλ[ε]ήμων ἐν ὥραις βιαίοις, πολὺ δυνάμενος ἐν κόσμῳ, ὁ κτίσας τὴν Ἀνάγκη 〈ν〉 καὶ Τιμωρίαν καὶ τὴν Βάσανον.‘ ιβ′ ἡμ(έρας) συρίσας τρὶς ὀκτάκις λέγε τοῦ Ἡλίου τὸ ὄνομα ὅλον ἀπὸ τοῦ 〈Ἀ〉 χεβυκρωμ. ‘λυθήτω πᾶς δεσμός, πᾶσα βία, ῥαγήτω πᾶς σίδηρος, πᾶν σ 〈χ〉 οινίον ἢ πᾶς ἱμάς, πᾶν ἅμμ[α], πᾶσα ἅλυσις ἀνοιχθήτω, καὶ μηδείς με καταβιάσαιτο, ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγώ εἰμι‘ (λέγε τ 〈ὸ〉 ὄνομα). πῦρ σβέσαι . ‘ἄκουε, πῦρ, ἔργον ἔργων εὑρήματος θεοῦ, δόξα τοῦ ἐντίμου φωστῆρος, σβέσθητι, χιονίσθητι· αὐτὸς γάρ ἐστιν ὁ Αἰὼν ὁ ἐπιβαλόμενος πῦρ ὡς ἀμίαντον· ἀποσκεδασθήτω μου πᾶσα φλόξ, πᾶσα δύναμις οὐσίας, προστάγματι Αὐτοῦ ἀεὶ ὄντος.

13 (300) οὐ μή μου θίγῃς, πῦρ, οὐ μή μου λυμάνῃς σάρκα, ὅτι ἐγώ εἰμι‘ (λέγε τὸ ὄνομα). πῦρ μεῖναι · ‘ἐξορκίζω σε, πῦρ, δαίμων ἔρωτος ἁγίου, τὸν ἀόρατον καὶ πολυμερῆ, τὸν ἕνα καὶ πανταχῆ, ἐνμεῖναι ἐν τῷ λύχνῳ τούτῳ ἐπὶ τόνδε τὸν χρόνον λαμπρυνόμενον καὶ μὴ μαραινόμενον, τῷ προστάγματι τοῦ δεῖνα.‘ λέγε τὸ ὄνομα. ὀνειροπομπόν · ποίησον ἱπποπόταμον ἐκ κηροῦ πυρροῦ κοῖλον καὶ ἔνθες εἰς τὴν κοιλίαν αὐτοῦ τοῦ βιεβετνεησι καὶ χρυσὸν καὶ ἄργυρον καὶ τὸ καλούμενον βαλλαθὰ τὸ τῶν Ἰουδαίων καὶ στόλισον αὐτὸν λίνῳ καθαρῷ καὶ θὲς ἐπὶ θυρίδος καθαρᾶς καὶ λαβὼν χάρτην ἱερατικὸν γράψον εἰς αὐτὸν ζμυρνομέλανι καὶ αἵματι κυνοκεφάλου, ἃ βούλει πέμψαι, καὶ εἰλήσας εἰς ἐνλύχνιον καὶ ἐνλυχνιάσας λύχνον καθαρὸν καινὸν ἐπίθες ἐπὶ τὸν λύχνον τὸν πόδα ἱπποποταμίου καὶ λέγε τὸ ὄνομα, καὶ πέμπει. φίλτρον πότιμον · λαβὼν σφηκαλέοντας τοὺς ἐν τῇ ἀράχνῃ, λειώσας ἐπὶ πότον δὸς πεῖν. ἐὰν θέλῃς γυναῖκας οὐ μὴ σχεθῆναι ὑπὸ ἄλλου ἀνδρός, λαβὼν γῆν πλάσον κορκόδειλον προσμείξας αὐτῷ μέλαν καὶ ζμύρναν καὶ θὲς εἰς 〈σ〉 ορίον μολιβοῦν καὶ ἐπίγραφε τὸ μέγα ὄνομα καὶ τὸ τῆς γυναικὸς καὶ ὅτι· ‘μὴ συνγενέσθω ἡ δεῖνα ἑτέρῳ ἀνδρὶ πλὴν ἐμοῦ, τοῦ δεῖνα.‘ ἔστι δὲ τὸ ὄνομα τὸ ἐπιγ 〈ρ〉 αφόμενον εἰς τοὺς πόδας τοῦ ζῳδίου· ‘βιβιου ουηρ αψαβαρα κασοννακα νεσεβαχ σφη σφη χφουρις.‘ ἄνοιξις διὰ τοῦ ὀνόματος · ‘ἄνοιγε, ἄνοιγε, τὰ δʹ μέρη τοῦ κόσμου, ὅτι ὁ κύριος τῆς οἰκουμένης ἐκπορεύεται. χαίρουσιν ἀρχάγγελοι δεκάνων, ἀγγέλων· Αὐτὸς γὰρ ὁ Αἰὼν Αἰῶνος, ὁ μόνος καὶ ὑπερέχων, ἀθεώρητος διαπορεύεται τὸν τόπον. ἀνοίγου, θύρα, ἄκουε, μοχλέ, εἰς δύο γενοῦ, κλειδών, διὰ τ(ὸ) ὄν(ομα) Ἀϊα αϊνρυχαθ, ἀνάβαλε, γῆ, δεσπότῃ πάντα, ὅσα ἔχεις ἐν σεαυτῇ· Αὐτὸς γάρ ἐστιν ὁ λαιλαφέτης καὶ χανοῦχος, πυρὸς κρατύντωρ. ἄνοιξον· λέγει σοι Ἀχεβυκρωμ‘ (ὀκτάκις Ἡλίου ὄνομα). ἄλλως ὁ λόγος πρὸς τὸν Ἥλιον· ‘ἐγώ εἰμι ὁ ἐπὶ τῶν δύο χερουβείν, ἀνὰ μέσον τοῦ κόσμου, οὐρανοῦ καὶ γῆς, φωτὸς καὶ σκότους, νυκτὸς καὶ ἡμέρας, ποταμῶν καὶ θαλάσσης, φάνητί μοι, ἀρχάγγελε τοῦ θεοῦ, ὁ ὑπ’ αὐτὸν τὸν ἕνα καὶ μόνον τεταγμένος.‘ τούτῳ δὲ τῷ λόγῳ ποίει πρὸς τὸν Ἥλιον χαριτήσια, ἀγωγάς, ὀνειροπομπά, ὀνειραιτητά, Ἡλίου δεῖξιν, ἐπιτευκτικά, νικητικά, καὶ πάντα ἁπλῶς. ἀπέχεις τὴν ἱεράν, ὦ τέκνον, καὶ μακάριδα Μονάδα βίβλον, ἣν οὐδεὶς ἴσχυσε μεθερμηνεῦσαι ἢ πρᾶξαι. ἔρρωσο, τέκνον. Μοϋσέως ἱερὰ βί 〈β〉 λος ἀπόκρυφος ἐπικαλουμένη ὀγδόη ἢ ἁγία : ἔστιν δὲ ἡ πρᾶξις τοῦ τὰ πάντα περιέχοντος ὀνόματος, ἔχει δὲ σύστασιν, ἐν ᾗ αὐτοῦ μηδὲν παραφίων ἐπιτεύξῃ. ἅγνευσον ἡμέρας μαʹ συνψηφίσας τὴν ἡμέραν καὶ τὴν ὥραν, ἐν ᾗ μέλλει ἡ σελήνη ἐκλιπεῖν ἐν κριῷ. ὁπότα 〈ν〉 δὲ γένηται ἐν κριῷ, χαμαικοίτει πρὸ μιᾶς καὶ θυσιάσας ἐπίθυε τὰ ζʹ ἐπιθύματα τὰ αὐθεντικά, ἐν οἷς ἥδεται ὁ θεός, τῶν ζʹ ἀστέρων τοῖς ζʹ ἐπιθύμασιν, ἅ ἐστιν ταῦτα· μαλάβαθρον, στύραξ, νάρδος, κόστος, κασία, λίβανος, ζμύρνα, καὶ τὰ ζʹ ἄνθη τῶν ζʹ ἀστέρων, ἅ ἐστιν ῥόδον, λώτινον, ναρκίσσινον, κρίνινον, ἐρεφύλλινον, λευκόϊνον, σαμψούχινον.

13 (350) λειοτριβήσας μετ’ οἴνου ἀθαλάσσου πάντα ἐπίθυε. φόρει δὲ 〈καὶ〉 κιννάμωμον· αὐτῷ γὰρ ὁ θεὸς τὴν δύναμιν περιέθηκε. τὰ δὲ θυμιάματα ἐπίθυε μετὰ εἴκοσι μίαν ἡμέραν, ἵν 〈α〉 συνκλείσῃς. τὴν δὲ ἀπόγευσιν δέξαι μελαίνης βοὸς γάλα καὶ οἶνον ἀθάλασσον καὶ νίτρον Ἑλληνικόν. μηνύει δὲ εἶναι ἀρχὴν καὶ τέλος. ὅταν δὲ ἐνστῇ ἡ ἡμέρα, παράθες εἰς τὴν θυσίαν ξύλα κυπαρίσσινα ἢ ὀποβαλσάμινα, ἵνα καὶ χωρὶς τῶν θυμιαμάτων ἡ θυσία ὀσμὴν παρέχῃ, καὶ στροβίλους πέντε δεξιοὺς καὶ λύχνους δύο ἅπτε κοτυλιαίους ἕν 〈θ〉 α καὶ ἕν 〈θ〉 α τοῦ βωμοῦ· ὁ δὲ βωμὸς ἔστω γήϊνος. σκευάσας δὲ καὶ γεμίσας τοὺς λύχνους μηκέτι ἐπίχυνε, θῦε δὲ λ 〈ε〉 υκὸν ἀλέκτορα ἄσπιλον καὶ ἄλλον ἄφες καὶ περιστερὰν ὁμοίως, ἵνα οὗ ἐὰν βούληται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰσελθὼν ὁ θεὸς πνεῦμα λάβῃ. κείσθω δὲ καὶ μαχαῖριν, παρακείσθω δὲ καὶ τὰ θυμιάματα τὰ ζʹ καὶ τὰ ἄνθη τὰ ζʹ ἠρτισμένα, ὡς πρό〉 κειται, ἵνα, ἐὰν εἰσελθὼν βουληθῇ ἐπιθύειν, εὕρῃ πάντα ἐν ἑτοίμῳ. ἐπὶ τῷ βωμῷ δὲ καὶ θυσία κείσθω. ἡ δὲ ἀπόγευσίς ἐστιν αὕτη· ὅταν μέλλῃς ἀπογεύεσθαι, ἀλέκτορα θῦσον, ἵνα ὁ 〈θεὸς ἀ〉 φθόνως λάβῃ πνεῦμα. καὶ μέλλων ἀπογεύεσθαι, ἐπικαλοῦ τὸν τῆς ὥρας καὶ τὸν τῆς ἡμέρας θεόν, ἵνα ἐξ αὐτῶν συσταθῇς. εἰ μὴ γὰρ αὐτοὺς καλέσῃς, οὐκ ἐπακούουσι ὡς ἀμυστηριάστῳ σοι ὑπάρχοντι. εὑρήσεις δὲ καὶ τοὺς ὡρογενεῖς καὶ τοὺς ἡμερησίους καὶ τὸν ἐπάν〈α〉γκον αὐτῶν ἐν τῇ Κλειδὶ τῇ Μοϋσέως· αὐτὸς γὰρ αὐτοὺς ἀπέσπασεν. τὸ οὖν ὄνομα γράψον εἰς τὸ Ἑλληνικὸν νίτρον ὅλον. ἀντὶ δὲ τοῦ ποππυσμοῦ γράψον εἰς τὸ Ἑλληνικὸν νίτρον κορκόδειλον ἱερακόμορφον· αὐτὸς γὰρ ἀσπάζεται τὸν θεὸν τετράκις τοῦ ἐνιαυτοῦ ταῖς τῶν θεῶν αὐθεντικαῖς νεομηνίαις· κατὰ τὴν τροπὴν τοῦ κόσμου πρῶτον τὴν καλουμένην πρόσθεσιν, εἶτα τῷ ἰδίῳ ὑψώματι, ὃ καλοῦσι Ὥρου γένναν, εἶτα Κυνὸς ἄστρου ἀνατολήν, εἶτα τὴν τῆς Σώθεως ἐπιτολήν, κατὰ πρόσθεσιν τοῦ ἡλίου καὶ ἀφαίρεσιν τὸν ποππυσμὸν ἀποδίδωσιν. ὁ δὲ ἐννεάμορφος δίδωσι αὐτῷ τὸν φθόγγον κατ' ἐκείνην τὴν ὥραν, ἵνα ἐκ τοῦ ἤχους ὕδατος ὁ ἥλιος ἀναβῇ· αὐτὸς γὰρ αὐτῷ συνεφάνη. διὸ τῶν ἐννέα θεῶν τῶν ἀνατελλόντων σὺν τῷ ἡλίῳ ἔλαβε τὰς μορφὰς καὶ τὴν δύναμιν. τὸ〈ν〉 μὲν οὖν τῆς κάτω τροπῆς ἀσθενέστερον καὶ ἀδυναμώτερον ἦχον ἐκπέμπει· ἔστιν γὰρ γέννα κόσμου καὶ ἡλίου.

13 (400) εἶτεν κατὰ πρόσθεσιν τῶν φώτων ὑψωθέντων καὶ τὸν ἦχον δυναμικώτερον ἐκπέμπει. ἐν δὲ τῇ Κυνὸς ἄστρου ἀνατολῇ κατὰ δύσιν τραπεὶς τὸν ἦχον δυναμικώτερον ἐκπέμπει, καθότι οὐκ ἔχει τὸ συνγενὲς πλησιάζον ὕδωρ, καὶ ὅτι ἡ τροπή ἐστιν προσθετικωτέρα. καὶ τὰ τῆς ἐσχάτης ἀφαιρεῖ, ὃ προσέθηκεν τῇ ἄνω τροπῇ· ἔστιν γὰρ ὑγροῦ ἀπόβασις καὶ ἡλίου ταπείνωσις. γράφε οὖν ἀνφοτέρους τοὺς βʹ ζμυρνομέλανι, τουτέστιν κορκόδειλον ἱερακοπρόσωπον καὶ αὐτῷ ἐφεστῶτα τὸν ἐνεάμορφον. αὐτὸς γὰρ ὁ ἱερακοπρόσωπος κορκόδειλος εἰς τὰς δʹ τροπὰς τὸν θεὸν ἀσπάζεται τῷ ποππυσμῷ. ἀναπνεύσας γὰρ ποππύζει ἐκ τοῦ βυθοῦ καὶ ἀντιφωνεῖ αὐτῷ ὁ τὰς ἐννέα μορφὰς 〈ἔχων〉. διὸ ἀντὶ τοῦ ποππυσμοῦ τὸν ἱερακοπρόσωπον κορκόδειλον γράφε· ἔστιν γὰρ ἡ πρώτη κεραία τοῦ ὀνόματος ὁ ποππυσμός, δεύτερον συριγμός, καὶ ἀντὶ τοῦ συριγμοῦ δράκοντα δάκνοντα τὴν οὐράν, ὥστε εἶναι τὰ δύο, ποππυσμὸν καὶ συριγμόν, καὶ ἱερακοπρόσω〈πον〉 κορκόδειλον καὶ ἐννεάμορφον ἐπάνω ἑστῶτα καὶ κύκλῳ τούτων δράκοντα καὶ τὰς ζʹ φωνάς. ἔστιν δὲ ὀνόματα θʹ, ὧν πρόλεγε τοὺς ὡρογενεῖς σὺν τῇ στήλῃ καὶ τοὺς ἡμερεσίους 〈καὶ〉 τοὺς ἐφεβδοματικοὺς τεταγμένους καὶ τούτων τὸν ἐπάναγκον. ἄτερ γὰρ τούτων ὁ θεὸς οὐκ ἐπακούσεται, ἀλλ' ὡς ἀμυστηρίαστον οὐ παραδέξεται, εἰ μὴ τὸν κύριον τῆς ἡμέρας προσείπῃς καὶ τῆς ὥρας πυκνότερον, ἣν εὑρήσεις ἐπὶ τέλους διδαχήν. ἄνευ γὰρ αὐτῶν οὐδὲν ἀπεργάσῃ. ἐν οἷς ἔχεις ἐν τῇ 'Κλειδί.' βάλε δὲ ἐκ τῶν ζʹ ἀνθέων, ὧν ἤρτικες, εἰς τὸ μέλαν, καὶ οὕτως γράφε εἰς τὸ νίτρον. εἰς τὰ δύο μέρη ταῦτα γράφε καὶ ἀπόλειξον τὸ ἓν μέρος καὶ τὸ 〈ἕ〉τε〈ρον〉 ἀπόκλυσον εἰς τὸν οἶνον καὶ τὸ γάλα, πρῶτον—πρὸ τοῦ σε ἀποκλύσαι—θύσας τὸν ἀλέκτορα καὶ πάντα ἕτοιμα ποιήσας. θύσας δὲ τὸν ἀλέκτορα βάλε παρὰ μέρος καὶ τοὺς ἄλλους δύο καὶ τὴν περιστεράν, ἕτοιμα θε〈ί〉ς, εἶτα ἐπικαλοῦ τοὺς ὡρογε〈ν〉εῖς, ὡς προείρηται, καὶ τότε ἀπόπιε. 'ἐπικαλοῦμαί σε πάσῃ φωνῇ, τὸν τὰ πάντα περιέχοντα, καὶ πάσῃ διαλέκτῳ. ὑμνῶ σε ἐγώ, ὡς πρώτως ὕμνησέ σ' ὁ ὑπὸ σοῦ ταχθεὶς καὶ πάντα πιστευθεὶς τὰ αὐθεντικά, Ἥλιος· Ἀχεβυκρωμ (ὃ μηνύει τοῦ δίς κου τὴν φλόγα καὶ τὴν ἀκτῖνα), οὗ ἡ δόξα· ααα ηηη ωωω, ὅτι διά ς' ἐνεδοξάσθη (εἶθ', ὡς ἄλλως· ἀγλαομορφούμενος) τοὺς ἀστέρας ἱστὰς καὶ τῷ φωτὶ τῷ ἐνθέῳ κτίζων τὸν κόσμον, ἐν ᾧ διέστησας τὰ πάντα· ιιι· ααα· ωωω· Σαβαώθ, Ἀρβαθιάω, Ζαγουρη.

13 (450) οὗτοί εἰσιν οἱ πρῶτοι φανέντες ἄγγελοι· Ἀραγά, Ἀράθ, Ἀδωναί, Βασημμ, Ἰάω. ὁ δὲ πρῶτος ἄγγελός σε φωνεῖ ὀρνεογλυφιστί· 'ἀραί', ὅ ἐστιν· 'οὐαὶ τῷ ἐχθρῷ μου', καὶ ἔταξας αὐτὸν ἐπὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τιμωριῶν, ὁ δὲ Ἥλιος ὑμνεῖ σε οὕτως ἱερογλυφιστί· ‘Λαΐλαμ‘ , ἀβραϊστὶ διὰ τοῦ αὐτοῦ ὀνόματος· ‘ἀναγ Βιαθιαρβαρ· βερβι σχι λα τουρβουφρουμτρωμ‘ λέγων· ‘προάγω σου, κύριε, ἐγώ, ὁ ἐπὶ τῆς βάρεως ἀνατέλλων, ὁ δίσκος, διά σε.‘ τὸ δὲ φυσικόν σου ὄνομα αἰγυπτιστί· ‘’Αλδαβαειμ‘ (λέγει τὴν βᾶριν, ἐφ’ ἣν ἀναβαίνει ἀνατέλλων τῷ κόσμῳ). ὁ δὲ ἐπὶ τῆς βάρεως φανεὶς συνανατέλλων κυνοκεφαλοκέρδων ἰδίᾳ διαλέκτῳ ἀσπάζεταί σε λέγων· ‘σὺ εἶ ὁ ἀριθμὸς τοῦ ἐνιαυτοῦ, Ἀβρασάξ.‘ ὁ δ’ ἐπὶ τοῦ ἑτέρου μέρους ἱέραξ ἰδίᾳ φωνῇ ἀσπάζεταί σε καὶ ἐπιβοᾶται, ἵνα λάβῃ τροφήν· ‘χι· χι· χι· χι· χι· χι· χι· τι τι τι τι τι τι τι.‘ ὁ δὲ ἐννεάμορφος ἀσπάζεταί σε ἱερατιστί· ‘Μενεφωιφωθ‘ ‘ μηνύων ὅτι· ‘προάγω σου, κύριε.‘ εἰπὼν ἐκρότησε γ′. καὶ ἐγέλασεν ὁ θεὸς ἑπτάκις· ‘χα χα χα χα χα χα χα.‘ γελάσαντος δὲ αὐτοῦ ἐγεννήθησαν θεοὶ ζ′, οἵτινες τὰ πάντα περιέχουσιν· οὗτοι γάρ εἰσιν οἱ προφανέντες. κακχάσαντος πρώτως αὐτοῦ ἐφάνη Φῶς (Αὐγὴ) καὶ διέστησεν τὰ πάντα. ἐγένετο δὲ θεὸς ἐπὶ τοῦ κόσμου καὶ τοῦ πυρός· Βεσεν βερειθεν βεριο. ἐκάκχασε δὲ δεύτερον· ἦν πάντα ὕδωρ, καὶ ἡ Γῆ ἀκούσασα ἤχους καὶ ἰδοῦσα Αὐγὴν ἐθαμβήθη καὶ ἐκύρτανε, καὶ τὸ ὑγρὸν τριμερὲς ἐγένετο, καὶ ἐφάνη θεὸς καὶ ἐτάγη ἐπὶ τῆς ἀβύσσου. καὶ διὰ τοῦτο τὸ ὑγρὸν χωρὶς αὐτοῦ οὔτε αὔξει οὔτε ἀπολήγει. ἔστιν δὲ αὐτοῦ τὸ ὄνομα· ‘Προμσαχα Ἀλεεϊω. σὺ γὰρ εἶ Ωηαϊ βεθε 〈λλε〉 :‘ βουλ{ευ}ομένου δὲ τὸ τρίτον κακχάσαι ἐφάνη διὰ τῆς πικρίας τοῦ θεοῦ Νοῦς (καὶ Φρένες) κατέχων καρδίαν, καὶ ἐκλήθη Ἑρμῆς, δι’ οὗ τὰ πάντα μεθηρμήνευσται. ἔστιν δὲ ἐπὶ τῶν φρενῶν, δι’ οὗ οἰκονομήθη τὸ πᾶν. ἔστιν δὲ Σεμεσιλαμψ. ἐπεκάκχασε τὸ δ′ ὁ θεός, καὶ ἐφάνη Γέννα πάντων κρατοῦσα σποράν, δι’ ἧς τὰ πάντα ἐσπάρη. ἐκλήθη δέ· ‘Βαδητοφωθ Ζωθαξαθωζω‘. ἐγέλασε τὸ ε′ καὶ γελῶν ἐστύγνασε, καὶ ἐφάνη Μοῖρα κατέχουσα ζυγόν, μηνύουσα ἐν ἑαυτῇ τὸ δίκαιον εἶναι. ὁ δὲ Ἑρμῆς συνηρίσθη αὐτῇ λέγων· ‘ἐν ἐμοί ἐστι τὸ δίκαιον.‘ τῶν δὲ μαχομένων ὁ θεὸς ἔφη αὐτοῖς· ‘ἐξ ἀνφοτέρων τὸ δίκαιον φανήσεται, πάντα δὲ ὑπό σε ἔσται τὰ ἐν κόσμῳ. [495]

13 (500) ‘ καὶ πρώτη τὸ σκῆπτρον ἔλαβε τοῦ κόσμου. ἐκλήθη δὲ ὀνόματι ἁγίῳ ἀναγραμματιζομένῳ, φοβερῷ καὶ φρικτῷ. ἔστιν δὲ τοῦτο· ‘θοριοβριτι‘ καὶ τὰ ἑξῆς. (ἧς τὸ ὄνομα ἀναγραμματιζόμενον μέγα ἐστὶν καὶ ἅγιον καὶ ἔνδοξον. ἔστιν δὲ τοῦτο πολ〈λ〉οῦ, ὄνομα ἰ〈σ〉χυρόν· ‘θοριοβριτιταμμαωρραγγαδωΐωδαγγαρρωαμματιτιρβοιροθ‘, γράμματα μθ′.) ἐκάκχασε τὸ ς′ καὶ ἱλαρύνθη πολύ. καὶ ἐφάνη Καιρός, κατέχων σκῆπτρον μηνύον βασιλείαν, καὶ ἐπέδωκεν τῷ θεῷ τῷ πρωτοκτίστῳ τὸ σκῆπτρον, καὶ λαβὼν ἔφη· ‘σὺ τὴν δόξαν τοῦ Φωτὸς περιθέμενος ἔσῃ μετ’ ἐμέ, ὡς πρῶτος ἐπιδούς μοι σκῆπτρον. πάντα δὲ ὑπὸ σὲ ἔσται, τὰ προόντα καὶ τὰ μέλλοντα, ἔν σοι πᾶσα δύναμις ἔσται‘. τοῦ δὲ περιθεμένου τοῦ Φωτὸς τὴν δόξα〈ν〉 ὁ δίσκος ἔ〈ν〉τροπος τοῦ Φωτὸς ἔδειξέν τινα αὔραν. ἔφη ὁ θεὸς τῇ βασιλίσσῃ· ‘σὺ περιθεμένη τὴν αὔραν τοῦ Φωτὸς ἔσῃ μετ’ αὐτόν, περιέχουσα τὰ πάντα. αὐξήσεις τῷ Φωτὶ ἀπ’ αὐτοῦ λαμβάνουσα καὶ πάλι ἀπολήξεις δι’ αὐτόν. σύν σοι πάντα αὐξήσει καὶ μειωθήσεται.‘ ἔστι δὲ τὸ ὄνομα μέγα καὶ θαυμαστόν· ‘ἀναγ Βιαθιαρβαρ βερβισχιλα τουρ βουφρουντωρμ‘ (γράμματα λς′). ἐκάκχασεν τὸ ζ′, ἀσθμησάμενος, καὶ ἐγένετο Ψυχή, καὶ πάντα ἐκινήθη. ὁ δὲ θεὸς ἔφη· ‘πάντα κινήσεις, καὶ πάντα ἱλαρυνθήσεται Ἑρμοῦ σε ὁδηγοῦντοσ‘. τοῦτ’ εἰπόντος τοῦ θεοῦ πάντα ἐκινήθη καὶ ἐπνευματώθη ἀκατα〈σ〉χέτως. ὁ δὲ θεὸς ἰδὼν ἐπόππυσεν, καὶ πάντα ἐθαμβήθη, καὶ ἐφάνη διὰ τοῦ ποππυσμοῦ Φόβος καθωπλισμένος. καλεῖται δέ· ‘Δανουπ Χρατωρ Βερβαλϊ Βαλβιθι‘ (γράμματα κς′). εἶτα νεύσας εἰς τὴν γῆν ἐσύρισε μέγα, καὶ ἡ γῆ ἠνύγη λαβοῦσα τὸν ἦχον· ἐγέννησεν ἴδιον ζῷον, δράκοντα Πύθινον, ὃς προῄδει τὰ πάντα, διὰ τὸν φθόγγον τοῦ θεοῦ. ἔστιν δὲ τὸ ὄνομα μέγα καὶ ἅγιον· ‘’Ιλιλλουϊ ϊλιλλουϊ ϊλιλλουϊ ϊθωρ μαρμαραυγή· φωχω φωβωχ.‘ τοῦ δὲ φανέντος ἐκύρτανεν ἡ γῆ καὶ ὑψώθη πολύ. ὁ δὲ πόλος ηὐστάθησεν, καὶ μέλλων συνέρχεσθαι. ὁ δὲ θεὸς ἔφη· ‘ΙΑΩ‘, καὶ πάντα ἐστάθη, καὶ ἐφάνη μέγας θεὸς μέγιστος, ὅς τε τὰ προόντα ἐν τῷ κόσμῳ καὶ τὰ μέλλοντα ἔστησε. καὶ οὐκέτι οὐδὲν ἠτάκτησεν τῶν ἀερ〈ί〉ων. ἰδὼν δὲ ὁ Φόβος αὐτοῦ ἰσχυρότερον ἀντέστη αὐτῷ λέγων· ‘σοῦ πρῶτός εἰμι‘. ὁ δ’ ἔφη·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

‘ἀλλ’ ἐγὼ πάντα ἔστησα.‘ ὁ δὲ θεὸς ἔφη· ‘σὺ μὲν ἐξ ἤχους εἶ, οὗτος δὲ ἐκ φθόγγου. βέλτιον οὖν ὁ φθόγγος τοῦ ἤχους, ἔσται δὲ ἐξ ἀμφοτέρων ἡ δύναμίς σου ὕστερον φαινομένου, ὡς ἵνα πάντα σταθῇ.‘ καὶ ἐκλήθη ἔκτοτε τὸ ὄνομα μέγα καὶ θαυμαστόν· ‘Δανουπ Χρατωρ Βερβαλι Βαλβιθ Ἰάω.‘ βουλόμενος δὲ καὶ τῷ συνπαρεστῶτι τιμὴν παρασχέσθαι, ὡς αὐτῷ συνφανέντι, ἔδωκε αὐτῷ τῶν θʹ θεῶν καὶ προάγειν καὶ τὴν ἴσην δύναμιν αὐτοῖς ἔχειν καὶ τὴν δόξαν. [545]

13 (550) ἐκλήθη δὲ τῶν θʹ θεῶν ἀποσπάσας σὺν τῇ δυνάμει καὶ τὰς κεραίας τῶν ὀνομάτων ‘Βοσβεαδιι‘ καὶ τῶν ζʹ ἀστέρων ‘ α εηιουω ε ηιουω η ιουω ι ουω ο υω υ ω ω ω υοϊηεα υ οιηεα ο ιηεα ι ηεα η εα ε α α ‘ (ἀναγραμ 〈μ〉 ατιζόμενον μέγα καὶ θαυμαστόν). τὸ δὲ μέγιστον αὐτοῦ ὄνομα, ὅ ἐστι τοῦτο μέγα καὶ ἅγιον γραμμάτων κζʹ· ‘Αβωρχ βραωχ χραμμαωθ πρωαρβαθω Ἰάω.‘ ἄλλως· ‘Αβρωχ βραωχ χραμμαωθ πρωαρβαθω Ἰάω ου αεηιουω.‘ ἐπὰν εἰσέλθῃ οὗ 〈ν〉 ὁ θεός, κάτω βλέπε καὶ γρ 〈ά〉 φε τὰ λεγόμενα καὶ ἣν δίδωσίν σοι αὑτοῦ ὀνομασίαν. μὴ ἐξέλθῃ δὲ ἐκ τῆς σκηνῆς σου, ἄχρι σοι καὶ τὰ περί σε εἴπῃ. ἔστιν δὲ ἡ ἱερὰ στήλη ἡ ἐν τῷ νίτρῳ γραφομένη (ἔστιν δὲ ἡ ἐπίκλησις οὕτως, ὡς κεῖται πάντα ἀκριβῶς)· ‘ἐπικαλοῦμαί σε τὸν τὰ πάντα κτίσαντα, τὸν πάντων μείζονα, σὲ τὸν αὐτογέννητον θεόν, τὸν πάντα ὁρῶντα καὶ πάντα ἀκούοντα καὶ μὴ ὁρώμενον. σὺ γὰρ ἔδωκας ἡλίῳ τὴν δόξαν καὶ τὴν δύναμιν ἅπασαν, σελήνῃ αὔξειν καὶ ἀπολήγειν καὶ δρόμους ἔχειν τακτούς, μηδὲν ἀφαιρήσας τοῦ προγενεστέρου σκότους, ἀλλ’ ἰσότητα αὐτοῖς ἐμέρισας. σοῦ γὰρ φανέντος, καὶ κόσμος ἐγένετο καὶ φῶς ἐφάνη, καὶ διῳκονομήθη τὰ πάντα διὰ σέ. διὸ καὶ πάντα ὑποτέτακταί σοι, οὗ οὐδεὶς θεῶν δύναται ἰδεῖν τὴν ἀληθινὴν μορφήν, ὁ μεταμορφούμενος ἐν ταῖς ὁράσεσιν, Αἰὼν Αἰῶνος· ἐπικαλοῦμα 〈ί〉 σε, κύριε, ἵνα μοι φανῇ ἡ ἀληθινή σου μορφή, ὅτι δουλεύω ὑπὸ τὸν σὸν κόσμον τῷ σῷ ἀγγέλῳ Ανογ Βιαθιαρβαρ βερβι σχιλατουρβου φρουντωρμ καὶ τῷ σῷ Φόβῳ Δανουπ: Χραντορ Βελβαλι Βαλβιθ Ἰάω. διά σε συνέστηκεν ὁ πόλος καὶ ἡ γῆ. ἐπικαλοῦμαί σε, κύριε, ὡς οἱ ὑπό σου φανέντες θεοί, ἵνα δύναμιν ἔχωσιν· Ἀχεβυκρων, οὗ ἡ δόξα· ααα, ηηη ωωω· ιιι: ααα· ωωω· Σαβαώθ, Ἀρβαθιάω, Ζαγουρῆ, ὁ θεὸς Ἀραθ, Ἀδωναί, Βασυμμ, Ἰάω. ἐπικαλοῦμαί σε, κύριε, ὀρνεογλυφι 〈σ〉 τί· ‘ἀραί‘ , ἱερογλυφιστί· ‘Λαΐλαμ‘ , ἁβραϊστί· ‘αναγ Βιαθιαρβαρ βερβι σχιλατουρ βουρ φουντωρμ‘ , αἰγυπτιστί· ‘Ἀλδαβαειμ‘, κυνοκεφαλιστί· ‘Ἀβρασ 〈ά〉 ξ‘, ἱερακιστί· ‘χιχιχιχ ιχιχι 〈χι〉 τιτιτιτιτιτιτι‘, ἱερατιστί· ‘Μενεφωϊφωθ· χαχαχαχαχαχαχα‘. [599]

13 (600) εἶτα κρότησον γʹ· ‘τακ τακ τακ‘, πόππυσον μακρὸν ποππυσμόν, σύρισον μέγαν, τουτέστιν ἐπὶ μῆκος, συριγμόν. Ἧκέ μοι, κύριε, ἀμώμητος, ὁ μηδένα τόπον μιαίνων, ἱλαρός, ἀπήμαντος, ὅτι ἐπικαλοῦμαί σε, βασιλεῦ βασιλέων, τύραννε τυράννων, ἔνδοξε ἐνδοξοτάτων, δαίμων δαιμόνων, ἄλκιμε ἀλκιμωτάτων, ἅγιε ἁγίων· ἐλθέ μοι πρόθυμος, ἱλαρός, ἀπήμαντος.‘ εἰσελεύσεται ἄγγελος, καὶ λέγε τῷ ἀγ 〈γ〉 έλῳ· ‘χαῖρε, κύριε, καὶ τέλεσόν με τοῖς πράγμασί μου τούτοις καὶ σύστησόν με καὶ μηνυέσθω μοι τὰ τῆς γενέσεώς μου.‘ καὶ ἐὰν εἴπῃ τι φαῦλον, λέγε· ‘ἀπάλειψόν μου τὰ τῆς εἱμαρμένης κακά, μὴ ὑπόστελλε σεαυτὸν καὶ δήλου μοι πάντα νυκτὸς καὶ ἡμέρας καὶ πάσῃ ὥρᾳ τοῦ μηνός, ἐμοὶ τῷ δεῖνα τῆς δεῖνα· φανήτω μοι ἡ ἀγαθή σου μορφή, ὅτι δουλεύω ὑπὸ τὸν σὸν 〈κόσμον τῷ σῷ〉 ἀγγέλῳ ἀναγ βιαθι (λόγος). ἐπικαλοῦμαί σε, κύριε, ἅγιε, πολυύμνητε, μεγαλότιμε, κοσμοκράτωρ, Σάραπι, ἐπίβλεψόν μου τῇ γενέσει καὶ μὴ ἀποστραφῇς με, ἐμὲ τὸν δεῖνα, ὃν ἡ δεῖνα, τὸν εἰδότα σου τὸ ἀληθινὸν ὄνομα καὶ αὐθεντικὸν ὄνομα· ‘ωαωηω ωεοη ιαω ιιιααω θηθου θη ααθω αθηρουω ρ αμιαθαρ μιγαρνα· χφουρι ιυευηοωαεη α· εε ηηη ιιιι οοοοο υυυυυυ ωωωωωωω Σεμεσιλάμμψ αεηιουω· ηωουε λινουχα νουχα Ἁρσάμοσι ισνορσαμ· οθαμαρμιμ· αχυχ χαμμω.‘ ἐπικαλοῦμαί σε, κύριε, ᾠδικῷ ὕμνῳ ὑμνῶ σου τὸ ἅγιον κρ 〈ά〉 τος· αεηιουωωω.‘ ἐπίθυε λέγων· ‘ηιουω· ιουω· ουω· υω· ω· α εε ηηη· ιιιι οοοοο υυυυυυ ωωωωωωω· ωηωαωαω οοουο ιιιιαω ιιυυοαηα·υο. διαφύλαξόν με ἀπὸ πάσης τῆς ἰδίας μου ἀστρικῆς, ἀνάλυσόν μου τὴν σαπρὰν εἱμαρμένην, μέρισόν μοι ἀγαθὰ ἐν τῇ γενέσει μου, αὔξησόν μου τὸν βίον καὶ ἐν πολλοῖς ἀγαθοῖς, ὅτι δοῦλός εἰμι σὸς καὶ ἱκέτης

καὶ ὕμνησά σου τὸ αὐθεντικὸν ὄνομα καὶ ἅγιον, κύριε, ἔνδοξε, κοσμοκράτωρ, μυριώτατε, μέγιστε, τροφεῦ, μεριστά, Σάραπι.‘ ἐφελκυσάμενος πνεῦμα πάσαις ταῖς αἰ ⟨σ⟩ θήσεσι φράσον τὸ ὄνομα τὸ πρῶτον ἑνὶ πνεύμ ⟨α⟩ τι ἀπηλιώτῃ, τὸ β′ νότῳ, τὸ γ′ βορρᾷ, τὸ δ′ λιβί, καὶ ἀριστερ ⟨ὰν⟩ ἀνακλιθεὶς ⟨εἰσ⟩ τὸ δεξιὸν γόνυ α′, γῇ α′ καὶ σελήνῃ α′, ὕδατι α′, οὐρανῷ α′· ‘ωαωη ωω εοηιαω ιι· ααω θη θου θη ααθω αθηρουω‘ (γράμματα λϛ′). ἔχε δὲ πινακίδα, εἰς ἣν μέλλεις γράφειν, ὅσα σοι λέγει, καὶ μαχαῖρι, ἵνα ἂν τὰ θύματα θύῃς, καθαρὸς ἀπὸ πάντων, καὶ σπονδήν, ἵνα σπείσῃς. πάντα δέ σοι παρακείσθω ἑτοῖμα.

13 (650) σὺ δ’ ἐν λίνοις ἴσθι καθαροῖς, ἐστεμμένος ἐλαΐνῳ στεφάνῳ, ποιήσας τὸν πέτασον οὕτως· λαβὼν σινδόνα καθαρὰν ἔνγραψον κροσῷ τοὺς τξε′ θεούς, ποίησον ὡς καλύβην, ὑφ’ ἣν ἴθι τελούμενος. ἔχε δὲ καὶ κατὰ τοῦ τραχήλου κιννάμωμον· αὐτῷ γὰρ ἥδεται τὸ θεῖον, καὶ τὴν δύναμιν παρέσχετο. ἔχε δὲ καὶ ἐκ ῥίζης δάφνης τὸν συνεργοῦντα Ἀπόλλωνα γεγλυμ ⟨μ⟩ ένον, ᾧ παρέ ⟨σ⟩ τη κεν τρίπους καὶ Πύθιος δράκων. γλύψον δὲ περὶ τὸν Ἀπόλλωνα τὸ μέγα ὄνομα Αἰγυπτι ⟨α⟩ κῷ σχήματι· ἐπὶ τοῦ στήθους ἀναγραμ ⟨μ⟩ ατιζόμενον τοῦτο τὸ ⟨ὄνομα⟩ · ‘Βαϊνχωωωχωωωχνιαβ,‘ κατὰ δὲ τοῦ νώτου ⟨τοῦ⟩ ζῳδίου τὸ ὄνομα τοῦτο· ‘Ἰλιλλου Ἰλϊλλου Ἰλιλλου,‘ περὶ δὲ τὸν Πύθιον δράκοντα καὶ τὸν τρίποδα· ‘Ἰθωρ μαρμαραυγὴ φωχω φωβωχ.‘ ἔχε δὲ τοῦτον κατὰ τοῦ τραχήλου τελέσας συνεργοῦντα πάντα μετὰ τοῦ κινναμώμου. προαγνεύσας οὖν, ὡς προεῖπον, πρὸ ζ′ ἡμερῶν σελήνης λειπούσης, κατὰ τὴν σύνοδον χαμαικοιτῶν, κατὰ πρωῒ ἀνιστάμενος τὸ ⟨ν⟩ ἥλιον χαιρέτισον ἐπὶ ἑπτὰ ἡμέρας λέγων καθ’ ἡμέραν τοὺς ὡρογενεῖς θεοὺς πρῶτον, εἶτα τοὺς ἐφεβδοματικοὺς τεταγμένους. μαθὼν δὲ τὸν κύριον τῆς ἡμέρας ἐκεῖνον ἐνόχλει λέγων· ‘κύρ ⟨ι⟩ ε, τῇ πόστῃ καλῶ τὸν θεὸν εἰς τὰς ἱερὰς θυσίασ‘, οὕτω ποιῶν ἄχρι τῆς ὀγδόης ἡμέρας. ἐλθὼν οὖν ἐπὶ τὴν ἡμέραν τὸ μεσονύκτιον, ὅταν ἡσυχία γένηται, ἀνάψας τὸν βωμὸν ἔχε παρεστῶτάς σοι τοὺς δύο ἀλεκτρυόνας καὶ τοὺ ⟨σ⟩ β′ λύχνους ἡμμένους, οἷς οὐκέτι ἐπιβαλεῖς ἔλαιον. ἄρξαι δὲ λέγειν τὴν στήλην καὶ τὸ μυστήριον τοῦ θεοῦ. ἔχε δὲ κρατῆρα παρακείμενον ἔχοντα γάλα μελαίνης βοὸς καὶ οἶνον ἀθάλασσον. ἔστιν γὰρ ἀρχὴ καὶ τέλος. γράψας οὖν εἰς τὸ ἓν μέρος τοῦ νίτρου τὴν στήλην, ἧς ἡ ἀρχή· ‘ἐπικαλοῦμαί σε, τὸν πάντων μείζονα‘ καὶ τὰ λοιπά, ὡς πρόκειται, ἀπόλειξον, καὶ τὸ ἕτερον μέρος, οὗ ἐνεγράφη ἡ ζωγραφία, βρέξας εἰς τὸν κρατῆρα ἀπόπλυνε. γραφέσθω δὲ τὸ νίτρον ἐξ ἀμφοτέρων, τῶν ἐπιθυμάτων καὶ τῶν ἀνθέων. πρὸ τοῦ δέ σε ἀπορο‌φᾶν τὸ γάλα καὶ τὸ ⟨ν⟩ οἶνον ἐπερεῖς τὴν ἐντυχίαν ταύτην καὶ εἰπὼν κατάκου ἐπὶ τῶν στρωμάτων, κατέχων τὴν πινακίδα καὶ τὸ γραφεῖον, καὶ λέγε τὴν ‘κοσμοποιίαν‘, ἧς ἀρχή· ‘ἐπικαλοῦμαί σε τὸν τὰ πάντα περιέχοντα, πάσῃ φωνῇ καὶ πάσῃ διαλέκτῳ‘ καὶ τὰ ἑξῆς. ὅταν δὲ ἔλθῃς ἐπὶ τὰ φωνάεντα, λέγε· ‘κύριε, ἀπομιμοῦμαί σε ταῖς ζ′ φωναῖς, εἴσελθε καὶ ἐπάκουσόν μοι,‘ εἶτα τὸ τῶν κζ′ γραμμάτων ὄνομα ἐπίφερε.

13 (700) ἴσθι δὲ ἀνακείμενος ἐπὶ ψιάθῳ θρυΐνῃ ὑπεστρωμένῃ σοι χαμαί. εἰσελθόντος δὲ τοῦ θεοῦ μὴ ἐνατένιζε τῇ ὄψει, ἀλλὰ τοῖς ποσὶ βλέπε ἅμα δεόμενος, ὡς πρόκειται, καὶ εὐχαριστῶν, ὅτι σε οὐχ ὑπερηφάνησεν, ἀλλὰ κατηξιώθης τῶν πρὸς διόρθωσιν βίου μελλόντων σοι λέγεσθαι. σὺ δὲ πυνθάνου· ‘δέσποτα, τί μοι εἵμαρται;‘ καὶ ἐρεῖ σοι καὶ περὶ ἄστρου καὶ ποῖός ἐστιν ὁ σὸς δαίμων καὶ ὁ ὡροσκόπος, καὶ ποῦ ζήσῃ καὶ ποῦ ἀποθανεῖσαι. ἐὰν δέ τι φαῦλον ἀκούσῃς, μὴ κράξῃς, μὴ κλαύσῃς, ἀλλὰ ἐρώτα, ἵνα αὐτὸς ἀπαλείψῃ ἢ μεθοδεύσῃ. δύναται γὰρ πάντα ὁ θεὸς οὗτος. πυθομένου σου οὖν τὰ πρῶτα εὐχαρίστει ὑπὲρ τοῦ αὐτὸν ἀκηκοέναι σου καὶ μὴ παρωρακέναι σε. οὕτω τούτῳ πάντοτε θυσίαζε καὶ τὰς εὐσεβείας πρόσφερε. ἐπακούει γάρ σοι οὕτως ἡ δὲ τοῦ πολεύοντος πῆξις περιέχει οὕτως· γνῶθι, τέκνον, τίνος ἡ ἡμέρα εἰς τὸ Ἑλληνικόν, καὶ ἐλθὼν εἰς τὴν ἑπτάζωνον μέτρει ἀποκάτωθεν, καὶ εὑρήσεις. ἐὰν γὰρ ἡμέρα Ἡλίου εἰς τὸ Ἑλ ⟨λ⟩ ηνικόν, Σελήνη πολεύει. οὕτως καὶ οἱ ὕστεροι, οἷον· Ἑλληνικόν· Ἥλιος Σελήνη Ἄρης Ἑρμῆς Ζεύς Ἀφροδίτη Κρόνος Μοϋσέως Μονάς, ἡ καὶ ὑπόμνημα ἐπικαλουμένη, ἑπτάζωνος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑπτάζωνος· Κρόνος Ζεύς Ἄρης Ἥλιος Ἀφροδίτη Ἑρμῆς Σελήνη Μοϋσέως ἀπόκρυφος η′. ἐν ἄλλῳ, ⟨ὃ⟩ εὗρον, ἐγέγραπτο· ‘Μοϋσέως ἀπόκρυφος βίβλος περὶ τοῦ μεγάλου ὀνόματος, ἡ κατὰ πάντων, ἐν ᾗ ἐστιν τὸ ὄνομα τοῦ διοικοῦν ⟨τος τὰ πάντα.‘ προσλήμψῃ δέ, ὦ τέκνον, ἐπὶ τῆς αὐτοψίας τούς τε ἡμερησίους καὶ ὡρογενεῖς θεοὺς καὶ τοὺς ἑβδοματικούς, τοὺς κατὰ βίβλον, καὶ τοὺς ιβ′ τριακοντάρχας καὶ τῶν ⟨ζ′⟩ γραμμάτων ὄνομα τὸ ἐν τῇ πρώτῃ βίβ ⟨λ⟩ ῳ, ὃ καὶ ἔχεις ἐν τῇ ‘Κλειδὶ‘ κείμενον, ὅ ἐστιν μέγαν καὶ θαυμαστόν. αὐτὸ γάρ ἐστιν τὸ ἀναζωπυροῦν τὰς πάσας βίβλους ⟨σ⟩ ου. προτέθειμαι δέ σοι τὸν ὅρκον τὸν κατὰ βί ⟨β⟩ λον προκείμενον· ἐπιγνοὺς γὰρ τῆς βίβλου τὴν δύναμι ⟨ν κρύψεις, ὦ τέκνον· ἐναπόκειται γὰρ αὐτῇ τὸ κυρίου ὄνομα, ὅ ἐστι Ὀγδοάς, θεὸς ὁ τὰ πάντα ἐπιτάσσων καὶ διοικῶν. τούτῳ γὰρ ὑπετάγησαν ἄγγελοι, ἀρχάγγελοι, δαίμονες, δαιμόνισσαι καὶ πάντα τὰ ὑπὸ τὴν κτίσιν. πρόκειται δὲ καὶ ἕτερα ὀνόματα δ′. τόδε θ′ γραμμάτων, καὶ τόδε ιδ′ γραμμάτων, καὶ τὸ τῶν κς′ γραμμάτων, καὶ τὸ τοῦ Διός. χρήσῃ δὲ αὐτοῖς ἐπὶ τῶν μὴ καταυγαζομένων παίδων, ὅπως θεωρήσῃ ἀπαραιτήτως, καὶ ἐπὶ πάντων τῶν λόγων καὶ τῶν χρειῶν· ἐπισκέψεων, ἡλιομαντιῶν, εἰσοπτρομαντιῶν.

ἐπανάγκῳ δὲ χρήσῃ τῷ με γάλῳ ὀνόματι, ὅ ἐστιν Ὀγδοάς, θεὸς ὁ τὰ πάντα διοικῶν τὰ κατὰ τὴν κτίσιν. δίχα ⟨γὰ⟩ ρ αὐτοῦ ἁπλῶς οὐδὲν τελεσθήσεται. κρύβε μαθών, τέκνον, τὸ τῶν θ′ γραμμάτων· ‘αεη· εηι· ουω‘, καὶ τὸ τῶν ιδ′ γραμμάτων· ‘υσαυ· σιαυε· ιαωυς,‘ τὸ δὲ τῶν κς′ γραμμάτων· ‘αραββαου αραβα‘ (α′), Διὸς ὄνομα· ‘χοναϊ ϊεμοι χο·ενι κα·αβια σικβα φορουομ επιερθατ‘. ἔστιν καὶ ἡ τοῦ ἑπταγραμμάτου ὑπόδειξις καὶ ὁ λόγος, ᾧ ὑπακούει ὁ θεός· ‘δευρό μοι, ὁ ἐκ τῶν δ′ ἀνέμων, ὁ παντοκράτωρ, ὁ ἐνφυσήσας πνεῦμα ἀνθρώποις εἰς ζωήν, οὗ ἐστιν τὸ κρυπτὸν ὄνομα καὶ ἄρρητον (ἐν ἀνθρώπου στόματι λαληθῆναι οὐ δύναται), οὗ καὶ οἱ δαίμονες ἀκούοντες τὸ ὄνομα πτοῶνται, οὗ ὁ ἥλιος Ἁρνεβουατ βολλοχ βαρβαριχ: β Βααλσαμὴν: πτιδαιου Ἁρνεβουατ· καὶ ⟨ἡ⟩ σελήνη Ἁρσενπενπρωουθ βαρβαραιωνη οσραρ μεμψεχει: ὀφθαλμοί εἰσιν ἀκάματοι, λάμποντες ἐν ταῖς κόραις τῶν ἀνθρώπων, ᾧ οὐρανὸς κεφαλή, αἰθὴρ δὲ σῶμα, γῆ δὲ πόδες, τὸ δὲ περὶ σ ⟨ὲ⟩ ὂν ὕδωρ ὁ Ἀγαθὸς Δαίμων. σὺ εἶ ὁ ὠκεανός, ὁ γεννῶν ἀγαθὰ καὶ τροφῶν τὴν οἰκουμένην, σοῦ δὲ τὸ ἀένναον κωμαστήριον, ἐν ᾧ καθίδρυταί σου τὸ ἑπταγράμματον ὄνομα πρὸς τὴν ἁρμονίαν τῶν ζ′ φθόγγων ἐχόντων φωνὰς πρὸς τὰ κη′ φῶτα τῆς σελήνης, σαρ ἀφαρα· αραφ α ι Ἀβρααρμ Ἀραφα· ἀβρααχ· περταωμηχ ἀκμηχ· Ἰάω ουεη Ἰάω ουε ειου αηω εηου Ἰάω, οὗ αἱ ἀγαθαὶ ἀπόρροιαι τῶν ἀστέρων εἰσὶν δαίμονες καὶ Τύχαι καὶ Μοῖραι, ἐξ ὧν δίδοται πλοῦτος, εὐγηρασία, εὐτεκνία, τύχη, ταφὴ ἀγαθή. σὺ δέ, κύριε τῆς ζωῆς, ὁ βασιλεύων τῶν οὐρανῶν καὶ τῆς γῆς καὶ πάντων τῶν ἐν αὐτοῖς ἐνδιατριβόντων, οὗ ἡ δικαιοσύνη οὐκ ἀποκινεῖται, οὗ αἱ Μοῦσαι ὑμνοῦσι τὸ ἔνδοξον ὄνομα, ὃν δορυφοροῦσιν οἱ η′ φύλακες Η, Ω, Χω, Χουχ, Νουν, Ναυνι, Ἀμοῦν, Ἀμαυνι, ὁ ἔχων τὴν ἄψευστον ἀλήθειαν· ὄνομά σου καὶ πνεῦμά σου ἐπ’ ἀγαθοῖς· εἰσέλθοις τὸν ἐμὸν νοῦν καὶ τὰς ἐμὰς φρένας εἰς τὸν ἅπαντα χρόνον τῆς ζωῆς μου καὶ ποιήσαις μοι πάντα τὰ θελήματα τῆς ψυχῆς μου. σὺ γὰρ εἶ ἐγὼ καὶ ἐγὼ σύ. ὃ ἐ ⟨ὰν⟩ εἴπω, δεῖ γενέσθαι. τὸ γὰρ ὄνομά σου ἔχω ἓν φυλακτήριον ἐν καρδίᾳ τῇ ἐμῇ, καὶ οὐ κατισχύσει με ἅπασα σὰρξ κινουμένη, οὐκ ἀντιτάξεταί μοι πᾶν πνεῦμα—οὐ δαιμόνιον, οὐ συνά ⟨ν⟩ τημα οὐδὲ ἄλλο τι τῶν καθ’ Ἅιδου πονηρῶν, δι ⟨ὰ⟩ τὸ σὸν ὄνομα, ὃ ἐν τῇ ψυχῇ ἔχω καὶ ἐπικαλοῦμαι, καὶ ⟨γενοῦ⟩ ἐμοὶ διὰ παντὸς ἐπ’ ἀγαθο ⟨ῖ⟩ ς, ἀγαθὸς ἐπ’ ἀγαθῷ, ἀβάσκαντος ἀβάσκαντον ἐμοὶ διδοὺς ὑγείαν, σωτηρίαν, εὐπορίαν, δόξαν, νίκη ⟨ν⟩ , κράτος, ἐπαφρ ⟨ο⟩ δισίαν.

κατάσχες τὰ ὄμματα τῶν ἀντιδικούντων μοι πάντων καὶ πασῶν, ἐμοὶ δὲ δὸς χάρι ⟨ν⟩ ἐπὶ πᾶσί μου τοῖς ἔργοις. ἀνοχ αιεφε σακτιετη· βιβιου βιβιου σφη σφη νουσι νουσι σεηε σεηε σιεθω σιεθω· ουν χουντιαι·σεμβι· ϊμενουαι βαϊνφνουν· φνουθ· τουχαρ· σουχαρ· σαβαχαρ ανα θεοῦ Ἰεοῦ ιον εον· θωθωουθρω·θρωρεσε εριωπω ιυη αη· ιαωαι αεηιουω αεηιουω· ηοχ· μανεβϊ χυχιω

αλαραω· κολ· κολ· κaατων κολκανθω βαλαλαχ αβλαλαχ Ὀθερχενθε βουλωχ βουλωχ Ὀσερχενθε μενθει, ὅτι προσείλημμαι τὴν δύναμιν τοῦ Ἀβραάμ, Ἰσὰκ καὶ τοῦ Ἰακὼβ καὶ τοῦ μεγάλου θεοῦ δαίμονος Ἰάω ἀβλαναθαναλβα· σιαβραθιλαω λαμψτηρ ιηι ωω, θεέ, ποίησον, κύριε περταωμηχ. χαχμηχ Ἰάω ουηε Ἰάω ουηε ιεου·αηω εηου Ἰάω.ʻ ὑπόδειξις · εἰπὼν εἰς τὸν ἀπηλιώτην, εἷς τὴν δεξιὰν χεῖρα ἐπὶ τῶν εὐωνύμων καὶ τὴν εὐώνυμον ὁμοίως χεῖρα ἐπὶ τῶν εὐωνύμων, λέγε· α . ε⟩ ἰς τὸ ⟨ν⟩ βορρᾶ ⟨ν⟩ , τὴν μίαν πὺξ προτείνας τῆς δεξιᾶς, λέγε· ε . εἶτα εἰς τὸν λίβα, ἀμφοτέρας χεῖρας προτείνας, λέγε· η . ⟨ε⟩ ἰ ⟨σ⟩ τὸ ⟨ν⟩ νότον, ἀμφοτέρας ἔχων⟩ ἐπὶ τοῦ στομάχου, λέγε· ι . εἰς τὴν γῆν, ἐπικύπτων παραπτόμενος τῶν ἄκρων ποδῶν, λέγε· ο . ⟨εἰσ⟩ ἀέρα βλέπων, τὴν χεῖρα ἔχων κατὰ τῆς καρδίας, λέγε· υ . εἰς τὸν οὐρανὸν βλέπων, ἀμφοτέρας τὰς χεῖρας ἔχων ἐπὶ τῆς κεφαλῆς, λέγε· ω . α′ ἀπηλιώτης ἀήρ βορρᾶ εε οὐρανός ωωωωωωω ωωωωωωω υυυυυυ οοοοο γῆ ηηη ιιιι νότος λίψ ʻἘπικαλοῦμαί σε, ἀέναε καὶ ἀγένητε, τὸν ὄντα ἕνα, μόνον τῶ ⟨ν⟩ πάντων συνέχοντα τὴν ὅλη ⟨ν⟩ κτίσιν, ὃν οὐδεὶς ἐπίσταται, ὃν οἱ θεοὶ προσκυνοῦσιν, οὗ τὸ ὄνομα οὐδὲ θεοὶ δύνα ⟨ν⟩ ται φθέγ ⟨γ⟩ εσθαι. ἔνπνευσον ἀπ’ ἐξάσθ ⟨ματος, πο⟩ λοκράτωρ, ⟨τ⟩ ῷ ὑπό σε ὄντι, τέλεσόν μοι τὸ δεῖνα πρᾶγμα. ἐπικαλοῦμαί σε, ὡς ὑπὸ θεῶν ἀρρένων φωνῇ· ϊηω ουε ωηι νε αω ει ωυ αοη ουη εωα υηι ωεα οηω ιεου αω.

ἐπικαλοῦμαί σε, ὡς ὑπὸ θεῶν θηλείων φωνῇ· ϊαη εωο ϊου εηϊ ωα εη ιη αι υο· ηιαυ εωο ουηε ιαω ωαι εουη υωηι εωα. ἐπικαλοῦμαί σε, ὡς οἱ ἄνεμοι προ ⟨σ⟩ αγορεύουσιν. ἐπικαλοῦμαί σε, ὡς ὁ ἀπηλιώτης.ʻ βλέπων πρὸς ἀπηλιώτην ⟨λέγε⟩ · ʻα εε ηηη ιιιι οοοοο υυυυυυ ωωωωωωω, ἐπικαλοῦμαί σε, ὡς ὁ νότος.ʻ πρὸς τὸν νότο ⟨ν⟩ βλέπων λέγε· ʻιοο υυυ· ωωωω ααααα εεεεε ηηηηηηη. ἐπικαλοῦμαί σε, ὡς ὁ λίψ.ʻ στὰς πρὸς τὸν λίβα λέγε· ʻη ιι οοο υυυυ ωωωωω αααααα εεεεεεε. ἐπικαλοῦμαί σε, ὡς ὁ βορέασʻ. στὰς βλέπων πρὸς τὸν βορέαν λέγε· ʻω αα εεε ηηηη ιιιιι οοοοοο υυυυυυυ. ἐπικαλοῦμα ⟨ί⟩ σε, ὡς ἡ γῆ.ʻ βλέπων ἐς τὴν γῆν λέγε· ʻε ηη ιιι οοοο υυυυυ ωωωωωω ααααααα, ἐπικαλοῦμαί σε, ὡς ⟨ὁ⟩ οὐρανός.ʻ βλέπων εἰς τὸν οὐρανὸν λέγε· ʻυ ωω ααα εεεε ηηηηη ιιιιιι οοοοοοο. ἐπικαλοῦμαί σε, ὡς ὁ κόσμος· ο υυ ωωω αααα εεεεε ηηηηηη ιιιιιιι. τέλεσόν μοι τὸ δεῖνα πρᾶγ ⟨μα⟩ ταχύ. ἐπικαλοῦμαί σου τὸ ὄνομα, τὸ μέγιστον ἐν θεοῖς· ὃ ἐὰν εἴπω τέλειον, ἔσται σεισμός, ὁ ἥλιος στήσεται, καὶ ἡ σελήνη ἔνφοβος ἔσται, καὶ αἱ πέτραι καὶ τὰ ὄρη καὶ ἡ θάλασσα καὶ οἱ ποταμοὶ καὶ πᾶν ὑγρὸν ὑποπετρωθήσεται, ὁ κόσμος ὅλος συνχυθήσεται. ἐπικαλοῦμαί σε ιυευο ωαεη Ἰάω αεη αι εη αη ιουω ευη Ἰεου αηω ηι ωηι ιαη ιωουη αυη υηα ιω ιωαι ιωαι ωη εε ου ιω Ἰάω, τὸ μέγα ὄνομα· γενοῦ μοι λύγξ, ἀετός, ὄφις, φοῖνιξ, ζωή, κράτος, ἀνάγ ⟨κ⟩ η, εἴδωλα θεῶν, αιω ιωυ Ἰάω ηιω αα ουι αααα ε·ιυ ιω ωη Ἰάω αι· αωη ουεω αιεη ιουε υεια ειω ηιι υυ εε ηη ωαωη χεχαμψιμμ χανγαλας εηιου ιηεα ωοηοε ζ εὐωνύμων ζωιωιηρ ωμυρυρομρομοσʻ. ὧδε προάγων τὸν δεύτερον Ἰάω· ʻη ιι υυ εε ηη οαοη.ʻ τελεῖται ἡλίοις τῆς ιγ′ αὕτη ἡ τελετὴ τοῦ χρυσοῦ πετάλου ἐκλειχομένου τε καὶ ἐπιλεγομένου· ʻἼαια ιυ:οη ιευοω ηωι εο·η ωυ εη·υωη ωωο· ωωι ωαω εω ωη υω.ʻ εἶτα τελειότερον· ʻαωευη οαι ιο ηυεωα ουω ωο ει ου εω οιυυ ωυυ ωι α εε ηηη ιιιι οοοοο υυυυυυ ωωωωωωω αω εοη εωη ιαα ηωι ηιωʻ. ἐν τελετῇ ταῦτα ἑξάκις λέγεται σὺν τοῖς πᾶσι. γράφεται δὲ ἐν τῷ χρυσῷ πετάλῳ πρὸς τὸ ἐκλε ⟨ῖ⟩ ξαι τὰ ζ′, ἐν δὲ τῷ ἀργυρῷ τὰ ζ′ πρὸς τὸ φυλακτήριον.

οηω αω οοο υοιη ου υηι σορρα θωωμ χραλαμπηαψ ατουηγι. τὰ ἑξῆς πτερυγώματα. ἐπὶ τοῦ χρυσοῦ πετάλου ἐπίγραφε τοῦτο· ʻαω ευηοιʻ, ἀργυροῦ· ʻιοηυεωαʻ. αεηιουω αεηιουωω αεηιουωουω εηιουωα εηιουωωα εηιουωουωα ηιουωαε ηιουωωαε ηιουωουωαε ιουωαεη ιουωωαεη ιουωουωαεη ουωαεηι ουωωαεηι ουωουωαεηι υωαεηιο υωωαεηιο υωουωαεηι ⟨ο⟩ ωαεηιου ωωαεηιου ωουωαεηιου … καὶ τὸν οὐρανὸν μέγαν, ἀένναον, ἄφθαρτον, οηω αω θοου οιη ου υηι ορχρα θωωμχρα Σεμεσιλαμψ ατουητι δρουσουαρ δρουησρω γνιδα βαταιανα αγγαστα αμασουρουρ ουανα απαιστου ουανδα ωτι Σατραπερκμήφ· αλα Διόνυσε, μάκαρ, Εὔιε, υου υυυ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θηνωρ, διάγων υυυ ευευευ υε ουω ξερθεναθια θαφθω οικρου· ωρ αραξ γω ω ααα εραρηραυ:ιηρ· Θούθ, ασησεναχθω λαρνιβαι αιοω κουφιω ισωθωνι παθενι ιεεενθηρ πανχοχιτας ουε· τιασουθ παχθεεσθ Ὑσεμμιγα 〈δ〉 ων Ὀρθώ, Βαυβώ, νοηραδηρ σοιρε σοιρε σανκανθαρα Ἐρεσχιγάλ, αππαρα κεωφ, Ἰάω, Σαβαώθ, Ἀβρατιαώθ, Ἀδωναί, Ζαγουρῆ, Ἁρσάμοσι ρανα κερνωθ λαμψουωρ. διὸ συνίσταμαί σοι διὰ τοῦ μεγάλου ἀρχιστρατηγοῦ Μιχαήλ, κύριε, ὁ μέγας ἀρχάγγελος τοῦ Ἰεοῦ αη αιω ευαι ι·η ιη ιωα ιηιη αιω εη αιω. διὸ συνίσταμαι, ὁ μέγας, καὶ ἔχω σε ἐν τῇ καρδίᾳ μου αω εη εωηι αιαη ωη ιωαω εοηε ωηι ααη ωηιω‘. ὡς ὁ θεολ 〈ό〉 γος Ὀρφεὺς παρέδωκεν διὰ τῆς παραστιχίδος τῆς ἰδίας· ‘οισπαη Ἰάω ουεα Σεμεσιλάμ, αηοι υἱός, χολουε ἀρααραχαραρα ἠφθισίκηρε ωηευαιη ωιαι εαη εαη ωεα βορκα· βορκα φριξ ριξ ωρζα ζιχ μαρθαι ουθιν λιλιλιλαμ λιλιλιλωου ααααααα ωωωωωωω μουαμεχ, ὑγροπεριβόλε, αηω ωηα ηωα.‘ πνεῦσον ἔξω, ἔσω. διαπλήρωσον· ‘ει·αι· οαι·‘ ἔσω προσβαλόμενος μύκησαι. (ὀλολυγμός.) ‘δεῦρό μοι, θεῶν θεέ, αηωηι ηι Ἰάω αε οιωτκ‘. ἕλκυσαι ἔσω, πληροῦ καμμύων, μύκησαι, ὅσον δύνασαι, ἔπειτα στενάξας συριγμῷ ἀνταπόδος. Ἐρώτυλος ἐν τοῖς Ὀρφικοῖς· ‘υοηεωαι ωαι υοηεαι υοηεω ερεπε, ευα ναρβαρνεζαγεγωη ηχραημ καφναμιας ψιφρι ψαιαροrκιφκα βρακιω βολβαλοχ· σιαιλασι· μαρομαλα μαρμισαι βιραιθαθι· ωο.

‘ Ἱερὸς δὲ οὕτως· ‘μαρχωθ σαερμαχωθ· ζαλθαγαζα θα· βαβαθ βαθααθαβ α ιι ααα ωοο ωωω ηηη ωνθηρ.‘ εἶτα· ‘βάθος αυμωλαχ.‘ ὡς δ’ ἐν τῇ πρὸς Ὦχον βασιλέα προσφωνούμενον ἅγιον ὄνομα ὑπὸ Θφὴ ἱερογραμματέως· ‘νεθμομαω μαρχαχθα χθαμαρ ζαξθ θαρνμ αχαχ· ζαροκοθαρα ωσς Ἰαω ουή σιαλωρ τιτη εαη Ἰάω ης ζεαθε ααα ηεου θωβαρραβαυ‘. ἐν δὲ τοῖς Εὐήνου ἀπομνημονεύμασιν ὄνομα λέγει παρὰ τοῖς Αἰγυπτίοις 〈καὶ〉 Σύροις φωνεῖσθαι· ‘χθεθωνι‘. ὡς Ζωροάστρης ὁ Πέρσης ἐν 〈 〉 · ‘ρνισσαρ ψυχισσαρ.‘ ὡς δὲ ἐν τοῖς Πύρρου· ‘ζζα ααα εεε ββμωεα ανβιωωω.‘ ὡς δὲ Μωϋσῆς ἐν τῇ Ἀρχαγγελικῇ· ‘αλδαζαω βαθαμ μαχωρ·‘ ἢ ‘βααδαμμαχωρ ριζξαη ωκεων πνεδ μεωυψ ·ψυχ φρωχ φερ·φρω ιαοθχω.‘ ὡς δ’ ἐν τῷ Νόμῳ διαλύεται ἀβραϊστί· ‘Ἀβραάμ, Ἰσάκ, Ἰακώβ· αηω ηωα ωαη Ἰεοῦ ιεη ιεο Ἰάω ια ηι αο εη οε εω.‘ ὡς δὲ ἐν τῇ ε′ τῶν Πτολ 〈ε〉 μαϊκῶν, Ἓν καὶ τὸ Πᾶν ἐπιγραφομένῃ παναρέτῳ βίβλῳ (περιέχει γέννησιν πνεύματος πυρὸς καὶ σκότο 〈υ〉 ς)· ‘κύριος αἰῶνος, ὁ πάντα κτίσας, θεὸς μόνος, ἄφθεγκτος, θοροκομφουθ ψονναν νεβουητι· ταττακινθακολ· σοονσολουκε· σολβοσεφηθ· βορκα βορκα φριγξ ριξω ζαδιχ αμαρχθα ιου χωριν· λι λι λαμ λαμ ααααααα ιιιιιι ωωωωω ωω εμαχ ηηη ναχ λιλιλι λαμ· χενη λιλιλιλ ωου αηω ωαη ιωα ωωω ηηη, ὑγροπεριβόλε, μοθραη εια ουω αουε θοπτοχ α ωω υυυ οοοο ιιιι ηηηηηη εεεεεε Ἀμοῦν Ἰαααααω Ηι·Ηι· ἀνοχ αι ιω ωι ηι ορτονγουρ ωηαι ειαι ωηαι ωηοι αα ηι ουω ηι ιου ηω ηεαε Θάθ ιερ θαινον αβου, ὁ μέγας, μέγας Αἰών, θεέ, (κύ)ρ(ιο)ς Αἰών.‘ καὶ τὸ μέ 〈γα〉 ὄνομα τὸ ἐν Ἱεροσολύμοις, ἐν ᾧ τὸ ὕδωρ ἐκφέρουσιν, ὅταν μὴ ἐνῇ 〈ἐ〉 ν σερᾷ· ‘αχμη ιεωη ιεηω ιαραββαο υχραβαωα, π 〈οίει〉 τὸ δεῖνα πρᾶγμα, ὄνομα ἄφθεγκτον μεγάλου θεοῦ.

‘ Λαβὼν χρυσῆν λεπίδα ἢ ἀργυρῆν χάρασσε ἀδαμαντίνῳ λίθῳ τοὺς ὑποκειμένου 〈σ〉 χαρακτῆρας τοὺς ἀφθέγκτους. ὁ δὲ χαράσσων αὐτὰ ἔστω καθαρὸς ἀπὸ πάσης ἀκαθαρσίας, ἐστεμμένος τὰς χεῖρας τῷ ἀκμάζοντι στεφάνῳ ἅμα ἐπιθύων λίβανον. γραφέτω δὲ τὴν λύσιν αὐτοῦ ὀπίσω τοῦ πετάλου· εἶτα λαβὼν αὐτὸ κεχαραγμένον βάλε αὐτὸ εἰς γλωσσόκομον καθαρὸν καὶ θὲς ἐπὶ τριπόδου καθαροῦ περιβεβλημένου ὀθονίῳ. κόσμει δὲ καὶ παράθεσιν στροβίλων, ἄρτων καβόνιον, τραγημάτων, ἀνθέων καιρικῶν, οἶνον ἀθάλασσον Αἰγύπτιον. εἶτα βαλὼν μὲν γάλα, οἶνον, ὕδωρ ἐν καινῷ ἀγγείῳ ἅμα σπένδε λιβανωτίζων, καὶ παρακείσθω λύχνος καθαρός, ῥοδίνου μεστός, καὶ λέγε· ‘ἐπικαλοῦμαί 〈σε〉 τὸν ἐν τῷ οὐρανῷ μέγιστον θεόν, κύριον ἰσχυρόν, μεγασθενῆ Ἰάω ουω ιω αιω ουω, ὁ ὤν. τέλει δέ μοι, κύριε, τὸν μέγαν, κύριον, ἄφθεγ 〈κ〉 τον χαρακτῆρα, ἵνα αὐτὸν ἔχω καὶ ἀκίνδυνος καὶ ἀνίκητος καὶ ἀκαταμάχητος παραμένω, ἐγὼ ὁ δεῖνα.‘ πειρῶ δὲ κατασκευάζειν αὐτὸν 〈σελήνησ〉 οὔσης ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνατολῇ καὶ συναπτούσης ἀγαθοποιῷ ἀστέρι ἢ Διῒ ἢ Ἀφροδίτῃ, καὶ ἐπιμαρτυροῦντος μηδενὸς κακοποιοῦ, Κρόνου ἢ Ἄρεως. βέλτιον δ' ἐποίεις ἂν, ἑνὸς τῶν γ' ἀστέρων τῶν ἀγαθοποιῶν ὄντος ἐν ἰδίῳ οἴκῳ, τὴν συναφὴν ἐπιλαμβανομένης τῆς σελήνης ἢ διαμαρτυρούσης ἢ κατὰ διάμετρον, ἐν ἀνατολῇ ὄντος καὶ τοῦ ἀστέρος. ἔσται γάρ σοι πρακτικὴ πρᾶξις. μὴ οὖν μάτην 〈τὴν〉 ἐπίλυσιν αὐτοῦ διαφωνῇς, εἰ μὴ σεαυτοῦ παραίτιος ἔσῃ, ἀλλὰ ἐν σεαυτῷ ἔχε. εἰσὶν δὲ αὐτοῦ αἱ χρεῖαι· ὅταν ὑποτάξῃς φόβον ἢ ὀργήν, λαβὼν φύλλον δάφνης ἐπίγραψον τὸν χαρακτῆρα, ὥ〈σ〉 ἐστιν, καὶ δείξας τῷ ἡλίῳ λέγε· 'ἐπικαλοῦμαί σε τὸν ἐν τῷ οὐρανῷ μέγαν θεόν, κύριον 〈ἰσχυρόν〉, μεγασθενῆ Ἰάω, ουω ιω αιω ουω, ὁ ὤν· διαφύλαξόν με ἀπὸ παντὸς φόβου, ἀπὸ παντὸς κινδύνου τοῦ ἐνεστῶτός μοι ἐν τῇ σήμερον ἡμέρᾳ, ἐν τῇ ἄρτι ὥρᾳ. [1045]

13 (1050) ' ταῦτα εἴπας γ' ἔκλειξον τὸ φύλλον καὶ ἔχε μετὰ σεαυτοῦ τὸ πέταλον, ἐὰν δὲ διὰ χειρῶν, ἐπὶ τῇ χειρί. [Magical Character][Magical Character] ἡ δὲ ἐπίλυσις ἡ εἰς τὸ [Magical Character] [Magical Character] [Magical Character] [Magical Character] ὀπίσω γραφομένη· [Magical Character][Magical Character][Magical Character][Magical Character] παιθ· Φθᾶ φοωζα Μοϋσέως ἀπόκρυφος Σεληνιακή · 'Οινελ βιου Χνουβ ουηρ, ακρομβους ουραοι ουηρ αι Ἁφ Ὡρ οκι ἀνοχ βωρινθ μαμικουρφ αει αει η αει ειε ειη, Τεθ ουρ ουρ ουηρ με χρουρ χου ταις εχρηζη εχριγξ μαμια ουρφ, γυναικόμορφε θεά, δεσπότι Σελήνη, ποίησον τὸ δεῖνα πρᾶγμα.' Ἄνοιξι ς . λαβὼν ὀμφαλὸν κορκοδείλου ἄρσενος (ποταμογείτονος λέγει) καὶ ᾠὸν κανθάρου καὶ κυνοκεφάλου καρδίαν (ζμύρναν λέγει, κρίνινον μύρον), ἔμβαλε εἰς ἀγγεῖον καλάϊνον, καὶ ὅταν θέλῃς ἀνοῖξαι, πρόσαγε τῇ θύρᾳ τὸν ὀμφαλὸν λέγων· 'νη θαιμ θολαχ θεχεμβαορ θεαγον πενταθεσχι βωτι, [καλῶ σε], ἐν τῷ βυθῷ τὴν δύναμιν ἔχουσαν, ἐμοί, ἵν' εὔοδον ἄρτι μοι εἴη, ὅτι λέγω σοι· σαυαμβοχ μερα χεοζαφ ωσσαλα Βυμβὴλ πουο τουθω οιρηρει αρνοχ.' Ἐὰν εἴδη φωνῆσαι 〈θελήσῃς ...〉 Μοϋσέως ἀπόκρυφος ἡ Δεκάτη. ''Ἐπικαλοῦμαί σε, τὸν ἐν τῷ ἀοράτῳ σκότει καθήμενον καὶ ἀνὰ μέσον ὄντα τῶν μεγάλων θεῶν, δύνοντα καὶ παραλαμβάνοντα τὰς ἡλιακὰς ἀκτῖνας καὶ ἀναπέμποντα τὴν φαεσφόρον θεὰν Νεβουτοσουαληθ, θεὸν μέγαν Βάρζαν βουβαρζαν ναρζαζουζαν βαρζαβουζαθ, Ἥλιον· ἀνάπεμψόν μοι ἐν τῇ νυκτὶ ταύτῃ τὸν ἀρχάγγελόν σου Ζεβουρθαυνην, χρημάτισον ἐπ' ἀληθείας, ἀληθῶς, ἀψευδῶς, ἀναμφιλόγως περὶ τοῦδε πράγματος, ὅτι ἐξορκίζω σε κατὰ τοῦ ἐν τῇ πυρίνῃ χλαμύδι καθημένου ἐπὶ τῆς ἀ〈κ〉ρουραίας κεφαλῆς τοῦ Ἀγαθοῦ Δαίμονος παντοκράτορος, τετραπροσώπου δαίμονος ὑψίστου, σκοτίου καὶ ψυχαγωγαίου Φώξ. [10]

14 μή μου παρακούσῃς, ἀλλὰ ἀνάπεμψον τάχος τῇ νυκτὶ ταύτῃ 〈κατ'〉 ἐπιτα[γ]ὴν τοῦ θεοῦ'. τοῦτο εἴπας γ' ... Μή με δίωκε, ὅδε· ἀνοχ Παπι πετο[υ] μετουβανες. βαστάζω τὴν ταφὴν τοῦ Ὀσίρεως, καὶ ὑπάγω κατασ[τ]ῆσαι αὐτὴν εἰς Ἄβιδος, καταστῆσαι εἰς Ταστας καὶ καταθέσθαι εἰς [Ἀ]λχάς. ἐάν μοι ὁ δεῖνα κόπου[ς] παράσχῃ, προσ〈τ〉ρέψω αὐτὴν αὐτῷ. Ἐ[πι]καλοῦμαί σε τὸν ἐ[ν] τῷ κενεῷ πνεύματι, δεινόν, ἀόρατον, παν[τ]οκράτορα, θεὸν θεῶν, φθοροποιὸν καὶ ἐρημοποιόν, ὁ μισῶν οἰκίαν εὐσταθοῦσαν, ὃς ἐξεβρά〈σ〉θης ἐκ τῆς Αἰγύπτου καὶ ἔξω χώρας ἐπενομάσ[θ]ης, ὁ πάντα ῥήσσων καὶ μὴ νικώμενος, ἐπικαλοῦμαί σε, Τ[υ]φῶν Σήθ, τὰς σὰς μαντείας ἐπιτέ〈λ〉λω, ὅτι ἐπικαλοῦμαί [σ]ε τὸ σὸν αὐθεντικόν σου ὄνομα, ἐν οἷς οὐ δύνῃ παρακοῦσαι· ϊω Ἐρβηθ, ϊω Πακερβηθ, ϊω Βολχωσηθ ϊω Παταθναξ ϊω Σωρω ϊω [Ν]εβουτοσουαληθ Ἀκτιῶφι, Ἐρεσχιγάλ, Νεβουτοσοαληθ, ἀβεραμενθωου λερθεξαναξ εθρελυωθ νεμαρεβα, αεμινα (ὅλον), ἧκέ μοι κ[αὶ] βάδισον καὶ κατάβαλε τὸν δεῖνα (ἢ τὴν δεῖνα) ῥίγει καὶ πυρετῷ· αὐτὸς ἠδ[ί]κησέν με καὶ τὸ αἷμα τοῦ Τυφῶνος ἐξέχυσεν παρ' ἑαυτῷ (ἢ αὑτῇ). διὰ το[ῦ]το ταῦτα ποιῶ (κοινά). Ἐ[π]ιδήσω σε, Νῖλε, τὸν καὶ Ἀγαθὸν Δαίμονα, ὃν ἔτεκε Δημητρία, κακοῖς μεγάλοις, οὐδὲ θεῶν οὐδὲ ἀνθρώπων εὕρω σοι καθαρὰν λύσιν, ἀλλὰ φιλήσεις με Καπετωλίναν, ἣν ἔτεκε Πεπεροῦς, θεῖον ἔρωτα καὶ ἔσῃ μοι κατὰ πάντα ἀκόλουθος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἕως ἂν ἐγὼ βούλωμαι, ἵνα μοι ποιῇς ἃ ἐγὼ θέλω καὶ μηδενὶ ἄλλῃ, καὶ μηδενὸς ἀκούῃς εἰ μὴ ἐμοῦ μόνης Καπετωλίνας, ἐπιλήσῃ γονέων, τέκνων, φίλων.

15 π[ρο]σεξορκίζω ὑμᾶς δαίμονες τοὺς ἐν τῷ τόπῳ τούτῳ, Αλυηαηλ ...λιονω Σουαφαλω Λυβαλολυβηλ Οικαλλισσαμαεω Λυβαλαλωνη Λυλωηυ Λυοθνοις Οδισσασον Αλελαδα. Καπετωλίνα ἔχω τὴν εὐρωστίαν, καὶ ἐπιτυχὼν Νεῖλος ἀποδώσεις τὰς χάριτας. πάντας Ἑσ 〈ι〉 ῆτας καὶ τοὺς ἀγάμους καὶ ἀνεμοφορήτους ἀφιᾶσι. ἐνθῶ τὴν παρακαταθήκην ταύτην, ἵνα μοι τελέσητε πάντα τὰ ἐν τῷ πιττακίῳ γεγραμμένα, δι’ ἃ ὁρκίζω ὑμᾶς δαίμονες τὴν συνέχουσαν ὑμᾶς βίαν καὶ ἀ[νά]νκην· τελέσατέ μοι πάντα καὶ εἰσπηδήσατε καὶ περιέλετε Νίλου, οὗ ἐστιν ἡ οὐσία, τὸν νοῦν, ἵνα μου ἐρᾷ Καπετωλίνας καὶ ἀσάλευτός μου ᾖ Νῖλος, ὃν ἔτεκε Δημητρία, πάσῃ ὥρᾳ καὶ πάσῃ ἡμέρᾳ. διορκίζω ὑμᾶς δαίμονας κατὰ τῶν ὑμῶν πικρῶν ἀναγκῶν τῶν ἐχουσῶν ὑμᾶς καὶ ἀνεμοφορήτων, Ιω Ιωε Φθουθ Ειω Φρη, ὁ μέγιστος δαίμων Ἰαὼ Σαβαὼ Βαρβαρε Λαιλαμψ Ὀσορνωφρι Εμφερα, ἐν τῷ οὐρανῷ θεὸς ὁ μονογενής, ὁ ἐκσαλεύων τὸν βυθόν, ἐξαποστέλλων ὕδατα καὶ ἀνέμους· ἔξαφες τὰ πνεύματα τῶν δαιμόνων τούτων ὅπου μού ἐστιν ἡ πύξις, ἵνα μοι τελέσωσι τὰ ἐν τῷ πυξιδίῳ ὄντα, ἤτε ἄρσενες ἤτε θήλειαι, ἤτε μικροὶ ἤτε μεγάλοι, ἵνα ἐλθόντες τελέσωσι τὰ ἐν τῷ πυξιδίῳ τούτῳ καὶ καταδήσωσι Νῖλον τὸν καὶ Ἀγαθὸν Δαίμονα, ὃν ἔτεκε Δημητρία, ἐμοὶ Καπιτωλίνᾳ, ἣν ἔτεκε Πιπερο[ῦς], [ὅλο]ν τῆς ζωῆς αὐτοῦ χρόνον. φιλῇ με Νῖλος φίλτρον αἰώνιον. ἤδη ἤδη ταχ[ὺ ταχύ.] Ὁρκίζω σε, νεκύ[δαιμον], κατὰ τοῦ μηθ[ .

16 ]ου μαχερεμα φαχε[λε]ζ[εθι] αλωια βαθαβλεουχαχι Ἀβαώς, ομωχαλ αραχραυχ[ .. ]ου αμερρα μαχερθα φαχελεζεθι· ποίησ[ον] φθείνειν [καὶ] κατα[τ]ήκεσθαι [Σ]αραπίωνα ἐπὶ τῷ ἔρωτι Διοσκοροῦτος, ἣν [ἔτεκε Τικω]ί. καῦ[σο]ν τὴν καρδί[αν αὐτοῦ, ἔ]κτηξον, καὶ τὸ αἷμα [αὐτο]ῦ ἐ[κθήλα]σόν μου φιλίᾳ, ἔρωτι, ὀδύνῃ, ἕω[ς ἔλθ]ῃ Σαραπίων, ὃν ἔτεκε Πα[σάμητρ]α, πρ[ὸς Διοσκοροῦν, ἥ[ν] ἔτεκε Τικωί, [καὶ ποι]ήσῃ τὰ κατα[θύμιά] μου πάντα καὶ δι[αμείνῃ] ἐμὲ φιλῶν, [ἕως ὅτ]ου εἰς Ἅιδην [ἀφίκ]ηται. ὁρκίζω σε, νεκυδαίμονα, κατὰ τοῦ Ἀδωναίου Σαβ[αὼθ] αμαραχθει αξιαωθ αζαρ θεὲ αθρωα σου [ 7] ομαλαξα θε[ὲ ... ]εν μαρατα αχω χιμμι νεμεγαιφ υ[ .. ]α[χι]λθτεε μαρ[αδθ]α θαρβι αψωχ[ ... ]· ποίησον [φθείνε]ιν καὶ κατατήκεσθαι Σαρα[πίων]α, ὃν ἔτεκε Πασάμητρα, ἐπὶ τῷ ἔρωτι Διοσκοροῦτος, ἣν [ἔτ]εκε [Τικ]ωί. στίξαι τὴν καρδίαν αὐτ[οῦ,] ἔκτηξον, καὶ τὸ αἷμα αὐτοῦ ἐκ[θήλ]ασον φιλίᾳ, ἔρ[ω]τι, ὀδύνῃ, [ἕως] ἔλθῃ Σαραπίων, ὃν ἔ[τεκε] Πασάμητρα, [πρ]ὸς Διοσκορο 〈ῦ〉 ν, [ἣν] ἔτεκε Τικουί, καὶ ποιήσῃ τὰ κατ[αθ]ύμιά μου πάντα καὶ διαμείνῃ [ἐμ]ὲ φιλῶν, ἕως ὅτ[αν εἰ]ς [Ἅδ]ην ἀφίκηται. [ὁ]ρκίζω σε, νεκύ[δαι]μον, κατὰ καρδίας υἱοῦ Κρόν[ου ...... ] ωυρωνυ[ ... ] λι[ .. ] εὐλ[αμ]ω[σι ... ] [ .. ]μεραθα· ποίησον φθε[ί]νειν καὶ κατ[ατή]κεσ[θαι Σα]ραπίων[α,] ὃν ἔτεκε Πασάμητρα, ἐπὶ τῷ ἔρωτι [Διοσκο]ροῦτος, ἣν ἔτεκε Τικοΐ, καὶ τὴν καρδίαν αὐτοῦ ἔκτηξο[ν καὶ τὸ] αἷμα αὐτοῦ ἐκθήλασον φιλίᾳ, ἔρωτι, ὠδύνῃ, [ἕω]ς ἔλθῃ Σαραπίων, ὃν ἔτεκε Πασάμητρα, πρὸς Διοσκοροῦν, ἣν ἔτεκε Τακουί, καὶ ποιήσῃ τὰ καταθύμιά μου πάντα καὶ δια[μείνῃ] ἐμὲ φιλῶν, ἕως ὅταν εἰς Ἅιδην ἀφίκηται. ὁρκίζω σε, νεκυδαίμων, κατὰ τοῦ ὑπο στηηααλεβμου ευα[ .. ] νεκελα[ .. ]τοσαν[ ... ] ακετοριμισεφονυμι στασαχη αμωτιλω νεβου[τοσουαληθ· ποίη]σον φθείνειν κα[ὶ] κατατήκεσθαι Σαραπίωνα, ὃν ἔτ[εκε Πασάμητρα, ἐπὶ τῷ ἔρωτι Διοσκ]οροῦτος, ἣν ἔτεκε Τικουί, [τὴν καρδίαν αὐ]τοῦ ἔκτηξον [καὶ τὸ] αἷμα αὐτοῦ ἐκθήλασον φιλ[ίᾳ, ἔρωτι, ὀδύνῃ, ἕως ἔλθῃ Σα]ραπίων, ὃν ἔτεκε Πασάμ[ητρα, ἐπὶ τῷ ἔρωτι Διοσκοροῦτος, ἣν ἔτεκε] Τικ[ω]ί, καὶ ποι[ήσῃ τὰ] κατα[θύμιά μου πάντα] καὶ διαμείνῃ ἐμὲ φιλῶν, ἕως [ὅταν εἰς Ἅιδην ἀφίκηται. ὁρκίζω σε, νεκυ]δαίμων, κατὰ τοῦ μ[ ..... ]μαση λεαι[ .. ] μεα[ .... ]ρμω[ . ]σεγε β[ . ]δησαωουα φεσφτου ἀμίαντον ηι ὀνόματα(?) [9] ξαι βαιμεβοτησαι φθασιαυ· σαιεξεεθα χθεθω ου νεβιωθυ λαιουθ· ποίησον φθείνειν καὶ κατατήκ[εσ]θαι Σαραπίωνα, ὃν [ἔτε]κε Πασάμη[τρα], ἐπὶ [τῷ ἔ]ρωτι [Διοσκορ]οῦτ[ος, ἣ]ν ἔτεκε Τικ[ο]υί, καὶ τ[ὴν καρδίαν] αὐτοῦ [ἔκτηξον καὶ τ]ὸ αἷμα αὐτοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκθήλασ[ον φιλίᾳ, ἔρω]τι, ὀδύ[νῃ, ἕως ἔ]λθῃ Σαραπίων, [ὃ]ν ἔτεκε Πασάμη[τρα, πρὸς Δι]οσκο[ροῦν, ἣν ἔτεκ]ε Τικαυί, [κ]αὶ ποιήσῃ τὰ κατα[θ]ύ[μιά μου πάντα καὶ διαμείνῃ ἐ]μὲ φιλῶν, ἕως ὅτου εἰς [Ἅιδην ἀφίκηται], καὶ ἔτι ἐξορκίζω σε, [νεκύδαιμον,] κατὰ τοῦ φθοι κι[ ... ]ωσε [ .... ] αυθειοκρα[ ..... ]ει απο ειρραθειβωθιμια προσημοπερναι[ .. ]ενε α[ . ]σ[ . ]τασηθωννεβαι λεισει· ποί[ησον φθείνειν καὶ κα]τατ[ήκεσθα]ι Σαραπ[ίωνα,] [ὃν ἔ]τεκε Π[ασάμ]ητρα, ἐπὶ τῷ [ἔρ]ωτι Διοσκοροῦτος, ἣν ἔτεκε [Τικωί], καὶ τὴν καρδίαν αὐτοῦ ἔκτηξον κ[αὶ τὸ α[ἷμα αὐτοῦ] ἐ[κθήλα]σον φιλίᾳ, ἔρω[τι, ὀ]δύνῃ, ἕως [ὅταν] ἔλθῃ Σαραπίων, ὃν ἔτεκε Πασά[μ]ητρα, πρ[ὸς] Διοσκοροῦ[ν, ἣν ἔτ]εκε Τικου[ί,] κ[αὶ π]οιή[σῃ τὰ] καταθ[ύμιά] μου πάντα καὶ διαμ[είνῃ] [ἐμὲ] φιλῶν, ἕως ὅτου [εἰς Ἅιδ]ην ἀφίκητ[αι.

16 (50) ὀρ]κίζω σε, νεκύδαιμον, κατὰ σιια τοῦ μεγον Ἀβαώθ, ου[ .... ]ουογδουκο ... ηρη[ .... ]ομμα κελαρο[ .... ] οντβεια· [ποίησον φθείνειν] καὶ κατατήκεσθαι [Σαραπίω]να, ὃν ἔτεκεν [Πα]σάμητρα, [ἐπὶ τῷ] ἔρωτι Διοσκοροῦτος, ἣν ἔτεκε Τικουού, καὶ [τ]ὴ[ν καρδ]ίαν αὐτοῦ ἔκτηξον καὶ τὸ αἷμα αὐτοῦ ἐκθήλα[σον φιλ]ίᾳ, ἔρωτι, ὀδύνῃ, εἰ μὴ ἔλθῃ Σαραπίων, ὃν ἔτεκεν Πασάμητρα, [πρ]ὸς Διοσ[κοροῦν], ἣν ἔτεκε [Τικωί, καὶ ποιήσῃ] τὰ καταθύμιά μου πάν[τα καὶ διαμείνῃ ἐμὲ φιλῶν, ἕως ὅταν εἰς Ἅιδην ἀφίκη]ται. ὁρκίζω σε, νεκ[ύδαιμο]ν, κα[τὰ τοῦ Ἀδω]ναί[ου .. ] δω [ ..... ]εξιακην νεικαροπλήξ μιδεκλιβαια αυκα[ ... ] λευειμεθ[ .... ]εξεννε Κομμι Βιου· ποίησον φθείνειν [καὶ κατατήκε]σθαι Σαρα[πίωνα], ὃν ἔτεκε Πασάμητρα, ἐπὶ τῷ ἔρ[ωτι Διοσκορο]ῦτος, ἣν ἔ[τεκε Τικωί, στ]ίξαι [τὴν καρδίαν αὐτ]οῦ καὶ [ἔκτηξον,] τὸ αἷμα [αὐτοῦ ἐκθήλασον φιλίᾳ, ἔρωτι, ὀδύνῃ, ἕως ὅταν ἔλθῃ Σαρα]πίων, ὃν ἔτεκε Πασά[μητρα, ἐπὶ τῷ ἔρωτι Διοσκοροῦτος, ἣν ἔτεκε Τικωί, καὶ ποιήσῃ τὰ] καταθύμιά μου πάντα [καὶ διαμείνῃ ἐμὲ φιλῶν, ἕως ὅταν εἰς Ἅιδην ἀφίκηται. ἐ]ξ[ορκίζω σε, νεκύ]δ[αιμον, κατὰ] τοῦ μεγίστ[ου] μυ[ ... ]πρωτησκαινονεοντι ερη[κισισφη] αραραχαραρα ηφσισι[κηρε [21 ] καὶ καῦσον [τὴν καρδίαν αὐτοῦ, ἕως ἔλθῃ Σαραπίων, ὃν ἔτεκε] Πασάμητρα, πρὸς Διοσκ[οροῦν,] ἣν ἔτεκε [Τικωί. ποίησον φθείνειν καὶ κατατήκεσθαι Σαραπίωνα, ὃν ἔτεκε] Πασάμητρα, ἐπὶ τῷ ἔρωτι Διοσκοροῦτος, [ἣν ἔτεκε Τικωί, ἔκτηξον καὶ τὸ αἷμα αὐτοῦ ἐκθήλασόν] μου φιλ[ίᾳ, ἔρωτι, ὀδύνῃ, νεκύδαιμ]ον· διὸ ποίησον [καὶ ἐκτέλεσ]όν μοι πάντα τὰ ἐν τῷ πι[ττ]ακ[ίῳ τούτῳ] [γεγραμμένα]. α α βα ακ λβα ακρ αλβα ακρα ναλβα ακραμ αναλβα ακραμμ θαναλβα ακραμμα αθαναλβα ακραμμαχ ναθαναλκα ακραμμαχα αναθαναλβα ακραμμαχαμ λαναθαναλβα ακραμμαχαμα βλαναθαναλβα ακραμμαχαμαρ αβλαναθαναλβα ακραμμαχαμαρι βλαναθαναλβα ακραμμαχαμαρ λαναθαναλβα ακραμμαχαμα αναθαναλβα ακραμμαχαμ ναθαναλβα ακραμμαχα αθαναλβα ακραμμαχ θαναλβα ακραμμα αναλβα ακραμμ ναλβα ακραμ αλβα ακρα λβα ακρ βα ακ α α Δ λ ΜΝ[Ι]ΠΠΗ ΠΗΠΗ ΩΩ [Magical Character] ⳩ [Magical Character] ΧΨ [Magical Character][Magical Character] 3ς Λ [Magical Character] Κ [Magical Character] ΞΥ 〈Χ〉 ΥΧ ΝΝ ΧΥΧΥΞΥΚΥΛ ς3 [Magical Character][Magical Character] ΨΧ [Magical Character] ⳩ ΩΩ [Magical Character] ΗΠΗΠΗΠΠ ΙΝΜ λ Δ Ἄνουβι, θεὲ ἐπίγε[ιε κ]αὶ ὑπόγειε καὶ οὐρ[ά]νιε, κύον, κύον, κύο[ν, ἀ]νάλαβε σεαυτοῦ τὴν πᾶσαν ἐξουσίαν καὶ πᾶσ[α]ν δύναμιν κατὰ τῆς Τιγηροῦ, ἣν ἔτεκεν Σοφία· 〈ἀ〉 νάπαυσον αὐτὴν τῆς ὑπερηφανείας καὶ τ[οῦ] λογισμοῦ καὶ τῆς αἰσχύνης.

17a (1a) ἄξον δ[έ μ]οι αὐτὴν ὑπὸ τοὺς ἐμοὺς πόδας [ἐρ]ωτικῇ ἐπιθυμίᾳ τηκομένην ἐν πάσαις ὥραις ἡμεριναῖς καὶ νυκτεριναῖς, ἀεί μου μιμνησκομένην τρώγουσαν, πίνου[σα]ν, ἐργαζομένην, ὁμιλοῦσαν, κ[οι]μωμένην, ἐνυπνιαζομένην, ὀνειρώττουσαν, ἕως ἂν ὑπό σου μαστιζομένη ἔλθῃ ποθοῦσά με, τὰς χεῖρας ἔχουσα πλήρεις, μετὰ μεγαλοδώρου ψυχῆς καὶ χαριζομένη μοι ἑαυτὴν καὶ τὰ ἑαυτῆς [κ]αὶ ἐκτελοῦσα, ἃ καθήκει γυναιξ[ὶν πρὸς ἄνδρ]ας, καὶ τῇ ἐμῇ καὶ ἑαυτῆς ἐπιθυ[μίᾳ ὑπη]ρετουμένη ἀόκνω[ς] καὶ ἀδυσωπήτως μηρὸν μηρῷ καὶ κοιλίαν κοιλίᾳ κολλῶσα καὶ τὸ μέλαν αὐτῆς τῷ ἐμῷ μέλανι ἡδυτάτῳ. ναί, κύριε, ἄξον μοι τὴν Τιτηροῦν, ἣν ἔτεκεν Σοφία, ἐμοὶ τῷ Ἑρμείᾳ, ὃν ἔτεκεν Ἑρμιόνη, ἤδη ἤδη, ταχὺ ταχύ, τῇ σῇ μάστιγι ἐλαυνομένην.

[Ἑρμῆ κοσμοκρ]άτωρ, ἐνκάρδιε, κ[ύκλε σελήνης,] [στρογγύλε καὶ τ]ετράγωνε, λόγων [ἀρχηγέτα γλώσσης,] [πειθοδικαιόσυνε], χλαμυδηφόρε, [πτηνοπέδιλε,] [παμφώνου γ]λώσσης μεδέω[ν, θνητοῖσι προφῆτα,] [11] εἰσπνοιὴ γὰρ [14] [] . [5]

17b . παρων προει[] []ἐν τυτθῷ χρόνῳ[] ( 6) ὅτα]ν πάλι μόρσιμο[ν ἦμαρ ἐπέλθῃ, ( 5) χρησμ]όν τιν' ἀληθέα [πέμπων·] [Μοιρῶν τε κλωσ]τὴρ σὺ λέγῃ καὶ [θεῖος Ὄνειρος,] [πανδαμάτωρ, ἀδάμ]αστος, ἅπερ φε[] α . [ . ]ρα ι[ .. ]εμ[ . ]ν ἐπικρίνοιο[] ἐσθλὰ μὲν ἐσ[θλο]ῖσιν παρέχεις, [δειλοῖσι δὲ λυγρά.] σ[ο]ὶ δ' ἠὼς ἀνέ[τ]ειλε, θοὴ δ' ἐπελά[σσατό σοι νύξ.] στοιχείων σὺ κ[ρ]ατεῖς, πυρός, ἀέρο[ς, ὕδατος, αἴης,] ἡνί 〈κ〉 α πηδαλιοῦχος ἔφυς κόσμοιο [ἅπαντος,] ὧν δ' [ἐ]θέλεις ψυ[χ]ὰς προάγεις, τοὺς δ' αὖτ' ἀνεγείρεις· κόσμος γὰρ κόσμου γεγαὼσ[] σὺ γὰρ καὶ νούσους μερόπων [πάσας θεραπεύεις.] ἡμερινοὺς κα[ὶ] νυκτερινοὺ[ς χρησμοὺς ἐπιπέμπων,] καί μοι εὐχομέ[ν]ῳ τὴν σὴν [μορφὴν ἐπίτειλον,] ἀνθρώπῳ, ὁσίῳ ἱκέτῃ καὶ σ[ῷ στρατιώτῃ,] καὶ σὴν μαντοσύνην νη[μερτέα πέμψον ἐν ὕπνῳ.] [ αβ λ ]αναθαναθαναβλα α [ Magical Characte r ] [ Magical Characte r ] [ Magical Characte r ] [ Magical Characte r ] [ Magical Characte r ] [ Magical Characte r ] γ βαεηιουω αααααρ α λ εε [ε ]εεεε ιιιιιι μ α α νακρακαμαρπιταρ χ ακομμωτευ μπο α θνιρ α . [5]

17c [sec2,7] .... . ιφελ πεθιον αε υ . λει η . . [ Magical Characte r ] ιταπε α μν νεβαλεσιτωτ αταχιτ ο .. . Κύριε Σαβαώθ, ἀπόστρεψον ἀπ' ἐμοῦ [κ]όπον, νόσον τῆς κεφαλ[ῆς], ἀ[ξ]ιῶ, μ[ου ἄπ]αρον []ε Γοργωφωνας οργωφωνας ργωφωνας γωφωνας ωφωνας φωνας ωνας νας ας ς Ἐξορκίζω ὑμᾶς κατὰ τοῦ ἁγίου ὀνόματος θεραπεῦσαι Διονύσιον ἤτοι Ἆνυς, ὃν ἔτεκεν Ἡρακλία, ἀπὸ πα[ν]τὸς ῥίγου 〈σ〉 καὶ πυρετοῦ ἢ το[ῦ] κα 〈θ〉 ημερινοῦ ἢ μίαν παρὰ μίαν νυκτερινοῦ τε καὶ ἡμερι 〈νοῦ〉 ἢ τετρ 〈α〉 δ 〈ί〉 ο 〈υ〉 , 〈ἤ〉 δη ἤδη, ταχὺ ταχύ.

19a Ενθι ενθω, βοσου, ηρις ηρις, ι ... νουω ουι δε βαθαρ Νηίθ, Νηίθ, ηιαωθ ουορ καωθις, σαμι σαμις, οφορ ἀνουιφω χθεθωνι νουηριωθ Ἀώθ, ουωρ, τενοχ τενοχ, [β]ιβιου βιβιου, μουαυ μουαυ, σμωσομ, Θευούθ, οκεβενευσι ενσι ειψηι, ουωρ, ουωρ, οσαραμωκς, Θαθ, Θαθ, ενθουω κομμουοα, [φι]ανοχ, φιανοχ, σωφ, χθενθεβενχ ενθεβεχ ηχθενθεβεθ, υιιαβωυ, Λαιλάμ, Ἁρμιωούθ, σων αυ ιφιως διαρ νεβες χινει, νουθι νουθι, κομωα ραφωρ, Ἁρσαμωσι, στεοβαοχ, ἀνοχ Φρῆ, Φρῖ, χορβαι μαι, [Ἀβα]ὼθ Ἰάω, ιφι ρομβαοθ, χαουχ χωουχ, ρινγχ, σφηχ χοου[χ]ορφι, μουισρω καμπυχρη, γοργιωριε, λαμπιπυρσι σειροε, ὄμβρ[ιμ]ε, ματεορσι ναφσισαωθα, ὦ Ὀσορ Μνευει, ὦ Ὀσάραπι Σάραπι, ὦ Ὀσορ Νοβηχις, Ὀσορ Μνευει, ὦ Ὀσορ Νωφρις, θω θω θω ιθι ιθι [ιθι] μου θουρι, χαουχ, χθεθωνι μαψιθυριμαψ τιτι νυξβι, Ἀμο[ῦ]ν, βλαμουνιθ, Βιωθ, θωδιαραξ φορβορβαβωρ, Χωσοήθ, Βολχοσήθ, [Ἐρ]εσχιγάλ, Ἁρσαμω, Ἁρσενοφρη, βιρβη καφιω, Ἰάω, ηια ιαη ηι ηαια, [χ]ιμνουθ, Ἁρβιωθ, καραχαραξ φραξ αξ, νουμωρ το ταχαν το, Φρῆ, ταυα[ν], χουχε χουχε, χωξ χωξ, χουχοθι, χουχε, χωξ χωξ, χουχοθι, Μασκελλι Μασκελλι Φνουχε[ν]ταβαώθ, ὀρεοβαζάγρα, ὑπόχθων, Ἰωουθ, Ἰαωουθ, αι αι αι ου ου ου, βαρ[βαρ]αι, βαλημαηθ, κηχι, Ἁθωρ, σενεζεζουθ σορο ορμεα χθ .... βαρμαρ φριουρειν γξ, Μασκελλι Μασκελλω Φνουκενταβαώθ, ὀρεοβαζάγρα, ῥηξίχθων, ἱππόχθων, πυριπηγανύξ, ὀρεοπη[γ]ανύξ, λεπεταν λεπεταν, φριξ φρωξ, Βία, Μάστιγξ, Ἀνάγκη, μαντ[ου]ενοβοήλ, θουρα κρινι ζουχε, πιππη, βεχοχ τα νικα ακωυ[ .. ]ητο, Κούρα, σανκανθαρα σανκιστη δωδεκακιστη ιε ηι εη κινξ[τ]αβακινξ ταβακινξ, Ἰὼ μολπή, Ἰὼ καβαλθ 〈Σ〉 αμας, σαιωβοθωρ [ . ] βαιωωρ βαιωρ, αθαρβαιω, ζασαρ, θαραιω, μελητὴς τῆς κρατερᾶς Ἀνάγκης, τῆς διοικούσης τὰ ἐμὰ πράγματα, τὰ τῆς ψυχῆ[ς μο]υ ἐννοήματα, ᾗ οὐδεὶς ἀντειπεῖν δύναται, οὐ θεός, οὐκ ἄγγελος, οὐ δαίμων, ἀνέγειρέ μοι σεαυτόν, νεκυδαίμων, καὶ μὴ βια[σθεί]ης, ἀλλὰ τέλεσον τὰ ἐνγεγραμμένα καὶ ἐντεθειμένα ἐν τῷ στόματί σου, ἤδη ἤδη, ταχὺ ταχύ. [Start of a diagram][Start of a diagram section] Ἀβρασάξ ωυοιηεα υοιηεαω οιηεαωυ ιηεαωυο ηεαωυοι Ἰαω εαωυοιη Ἰαω αωυοιηε ιωια αιωιαωιιιααααω ωω ιιι οοο υυυ ωωω ωια αωι αιω ωια ωια ιιι ααα εεε ηηη ιιιι οοοο ο υυυυυ ωωω ωωωω

αβλαναθαναλβα βλαναθαναλβα λαναθαναλβα αναθαναλβα ναθαναλβα αθαναλβα ω θαναλβα α υω αναλβα [ε ]α ουω ναλβα [ η ε ]α ιουω αλβα [ ιη ε ]α ηιουω λβα οιηεα εηιουω βα υοιηεα αεηοπυω α ωυοιηεα [End of a diagram section] [Start of a diagram section] ουοιβηλ ουαιβηλ ουαι ιαιωθω βαρραβαυ Σεμεσιλαμ Ἀβρασάξ ορχραθ βιουρα ζαζερ μαβε χαχαρ Ζᾶς χλαβαταρ Ἀώθ, Ἁρουήρ. χω βλαθαθ αληθ βηιγαμα χραειω μεευααωηωθ ηιουω εηιουω ηιουω ιουω[ουω] ουωωααεαεη αεηι αεηιο αεηιου αεηιουω .... βαρα ουααμου χμηχεεμεαυ αραρεβαιχι φια[νο]χω [End of a diagram section] [Start of a diagram section]
ιαεωβαφρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφαβωεαι
αεωβαφρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφαβωεα
εωβαφρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφαβωε
ωβαφρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφαβω
βαφρενεμουνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφαβ αφρεν [ εμο
υ ]νοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφα φρεν [ εμ
ο ]υνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερφ ρενεμ
[ο ]υνοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενερ ενεμ [ ο
υ ]νοθιλαρικριφιαευεαιφιρκιραλιθονυομενε νεμ [ ο
υ ]νοθιλαρικριφιαευεαιφιρκιραλιθονυομεν εμ [ ο υ ]νοβιλαρικριφιαευεαιφιρκιραλιθονυομε [ μο υ ]νοθιλαρικριφιαευεαιφιρκιραλιθονυομ [ ο υ ]νοθιλαρικριφιαευεαιφιρκιραλιθονυο [ υ ]νοθιλαρικριφιαευεαιφιρκιραλιθονυ νοθιλαρικριφιαευεαιφιρκιραλιθον οθιλαρικριφιαευεαιφιρκιραλιθο θιλαρικριφιαευεαιφιρκιραλιθ ιλαρικριφιαευεαιφιρκιραλι λαρικριφιαευεαιφιρκιραλ αρικριφιαευεαιφιρκιρα ρικριφιαευεαιφιρκιρ ικριφιαευεαιφιρκι κριφιαευεαιφιρκ ριφιαευεαιφιρ ιφιαευεαιφι φιαευεαιφ ιαευεαι αευεα ευε υ [ End of a diagram sectio n ] [ Start of a diagram sectio n ] Βαινχωωωχ αεηιουω εηιουωα ηιουωαε ιουωα [ ε η ] ουωαε [ η ι ] υωαεηι [ο ] ιαω αωι ωαεηιου ωια αιω ιαω ιι ααα ηωω ωιιι οοο υυυ ωω ωια ιωι αιω ωιαωια [ω ] ιι ααα εεε ηηη ιιιι οο [ο ]ο ο υυυυ ωωωωωω [ω ] ακραμμαχαμαρι κραμμαχαμαρι ραμμαχαμαρι αμμαχαμαρι μμαχαμαρι μαχαμαρι αχαμαρι χαμαρι αμαρι μαρι αρι ρι ι [ End of a diagram sectio n ] [ Start of a diagram sectio n ] ω υω ουω ιουω ηιουω εηιουω αεηιουω Δαμναμενευ αμναμενευ μναμενευ ναμενευ αμενευ μενευ ενευ νευ ευ υ [ End of a diagram sectio n ] [ Start of a diagram sectio n ] α εε ηηη ιιιι οοοοο υυυυυυ ωωωωωωω ααααααα [ εεε ε ]εε [ ηηη η ]η [ ιι ι ] [ ο ο ]ο υυ ω [End of a diagram section] [Start of a diagram section] . συρημενη Βακερβηθ [Πακερβ-] ηθ Ἀβρασάξ, Ἁρσαμω, αχιωνουθ ανουφι Ἀώθ, ζωι ζωφ χμουιε αχωρ αρχιτωρ ιαηθ αρνθιμοριαμ βιωχ βιωχ αφρου φιλα βραυπωπα .. χουχ ηευρηνιθεπαλασωχ ... ιω μουισρω ρως μουισρω .. βαλβα ....... αιαω παγουρη πααγουρη μα .. ψυλω παρναβ λο .. αρκαβερρωθ μαρμαριιλησα ριανυρρησον χοριγτρηε ανωχ πρ ηχθενιθ ασωχ νυχευνεχαπεα παιχωρσαρι ασισινηιθ ανασωχ ρη .. ευνι φωρ φωρ Ἀβαώθ δωι δωι κολυφμυωθ επονχωθ σευεισηι Σήθ βοιλωθ τελεσφευχα ... ασωρετηριωνιχ φυγρις σχηικ παντα παρερειθωσδ .... φαρχηλαμα διναχαρπαυλι ποδρυφοριφ θωρι ζωρι ὢν αω Ἀβρασάξ Φονοβουβοὴλ Ἰάω [End of a diagram section][End of a diagram] ιαι ιαω ηι αιι αωηα ιιιι υυυ σῦρ[ε], ὦσον πᾶν μέλος τοῦ νεκροῦ τούτου καὶ τὸ πνεῦμα τούτου τοῦ σκηνώματος καὶ ποίησον αὐτὸν διακονῆσαι πρὸς τὴν Κάρωσα, ἣν ἔτεκε Θελώ. [49]

19a (50) ναί, κύριε δαῖμον, ἆξον, καῦσον, ὄλεσον, πύρωσον, σκότωσον [και]ομένην, πυρουμένην, κέντει 〈βα〉 σανιζομένην τὴν ψυχήν, τὴν καρδίαν τῆς Κάρωσα, ἣν ἔτεκεν Θελώ, ἄχρις ἂν ἐκπηδήσασα [ἔλ]θῃ πρὸς Ἀπαλῶς, ὃν ἔτεκεν Θεονίλλα, ἐπὶ ἔρωτι καὶ φιλίᾳ ἐν τῇ ἄρτι ὥρᾳ, ἤδη ἤδη, ταχὺ ταχύ. [ἐφ'] ὅσον κεῖται παρά σοι τὸ θεῖον μυστήριον, μὴ ἐάσῃς αὐτὴν τὴν Κάρωσα, ἣν ἔτεκεν Θελώ, μὴ [ἰδίῳ] ἀνδρὶ μνημονεύειν, μὴ τέκνου, μὴ ποτοῦ, μὴ βρωτοῦ, ἀλλὰ ἔλ[θῃ·

τη]κομένη τῷ ἔρωτι καὶ τῇ φιλίᾳ καὶ συνουσίᾳ, πλείστω 〈σ〉 ποθου[μ]ένη πρὸς τὴν συνουσίαν τοῦ Ἀπαλῶς, ὃν ἔτεκεν Θεονίλλα, ἐν τῇ ἄ[ρτι ὥ]ρᾳ, ἤδη ἤδη, ταχὺ ταχύ. ‘[ ]τῇ δεῖνα τὸν δεῖνα [κομίζ]οι‘. [54]

19b τὰ κοινά. μίλτῳ ἐπὶ φύλ 〈λ〉 ων χαλπάσ(ου) ζμύρνισον. Ἀγωγὴ ἐπὶ κυνός· εἰς τομίον ἱερατικὸν γράψας ζμύρνῃ καὶ καταθοῦ [εἰς] βιοθάνατον· ‘ 〈ἐξορκίζω σὲ〉 κατὰ τοῦ Σενακωθο αρποψυγ καμουο ορψ θω ουχ πετι ανουπ πετιοπαριν αυτ κινοθεν χυχ ααα ροψ υϊχθεν κρεμμε σεχαξθνε νεουφθε ἀκηχ χα[κε] πωφοπι καχε ἀνοχ [7] ηθμη αρι μης θοδ [6] πε, σὺ δυνάμεν[ο]ς, τὸ σῶμα ἀν[έγειρε] καὶ ὕπαγε ε[ἰς τὴν δεῖνα,] ἕως ἐθ[ελήσῃ ... ‘] [πρὸ]ς κεφαλῆ(ς) [πόνον] [λόγο]ς [–⏕–] [⏕–σ]ὺ γὰρ εἶ θνη[τοῖ]ς . [15]

20 [–] [––] . φολοις π . [ ... ]ων τ[έ-] [λεσον τε]λέαν ἐπαοιδ[ή]ν. [] [ 6—8] ας Σύρας 〈Γ〉 αδαρηνῆς [] [ἐπαοιδὴ] πρὸς πᾶν κατάκαυμ[α.] [6-8 μ]υστοδόκος κατεκα[ύθη] [ὑψ]οτάτῳ δ’ ἐν ὄρει κατεκαύθ[η] ἑπτὰ λύ[κ]ων κρήνας, ἕπτ’ ἄρ[κτων], ἑπτὰ λεόντων. ἑπτὰ δὲ παρθενικαὶ κυ[α]νώπιδες ἤρ 〈υ〉 σαν [ὕ-] δωρ κάλπ[ι]σι κυανέαις καὶ ἔσβεσαν ἀκ[άμ]ατον πῦρ Φιλίννης Θε[σσ]αλῆς ἐπαοιδὴ π[ρὸς] κεφαλῆς π[ό]νον φεῦγ’ ὀδύν[η κ]εφαλῆς, φεῦγε φθ[ίνους’] ὑπὸ πέτ[ρα]ν· φεύγουσιν δὲ [λύ]κοι, φεύγ[ουσι] δὲ μώνυχες [ἵπ]ποι . [–⏕–] πληγαῖς ὑπ[6—8] [Ἐπάκουσόν μου, κύριε, οὗ ἐστιν τὸ κρυπτὸν ὄνομα ἄρρητον,] οὗ καὶ οἱ δαίμον[ες ἀκούοντες τὸ ὄνομα πτοοῦνται, οὗ ὁ ἥλιος] Βααλ βνιχ βααλα [Ἀμὴν πτιδαιου Ἀρνεβουατ καὶ σελήνη] ασεν[π]εμφ Θω[ούθ, βαρβαραιωνη οσραρμεμψεχει ] ὀφθαλμοί εἰσιν [ἀκάματοι, λάμποντες ἐν ταῖς κόραις] τῶν ἀνθρώπ[ων, ᾧ οὐρανὸς μὲν κεφαλή ἐστι] καὶ ἀὴρ σῶμα, [γῆ δὲ πόδες, τὸ δὲ περί σε ὕδωρ, ὠκεανός. [5]

21 σὺ εἶ Ἀγαθὸς] Δαίμων, ὁ κύ[ριος, ὁ γεννῶν ἀγαθὰ καὶ τρέφων καὶ αὔξων] τὴν οἰκουμένην [γῆν σύμπασαν καὶ ἅπαντα τὸν] κόσμον. σοῦ δὲ τὸ ἀέναο[ν κωμαστήριον, ἐν ᾧ καθίδρυταί] σου τὸ ὄνομα τὸ ἑπταγράμ[ματον πρὸς] τὴν ἁρμονίαν τῶν ἑπτὰ φ[θόγγων ἐχόντων φωνὰς πρὸς] τὰ εἴκοσι ὀκτὼ φῶτα τῆς σ[ελήνης· αεηιουω αε-] ηιουω αε 〈η〉 ιουω αεη 〈ι〉 ουω [ 20] οὗ 〈αἱ〉 ἀγαθαὶ ἀπόρροιαι τῶ[ν ἀστέρων εἰσὶ δαίμο-] νες καὶ Τύχαι καὶ Μοῖραι, ἐξ ὧ[ν δίδοται πλοῦτος, τύχη,] [εὐγηρασία, ταφὴ ἀγαθή. σὺ] δέ, κύριε τῆς ζωῆς, βασιλεύων τῆς ἄνω καὶ τῆς κάτω χώρας, [οὗ ἡ δικαιοσύνη οὐκ ἀποκλείεται,] οὗ αἱ Μοῦσαι ὑμνοῦσι τὸ ἔνδοξ[ον ὄνομα, ὃν δορυφοροῦσιν οἱ η′] φύλακες Η, Ω, Χω, Χουχ, [Νουν, Ναυνι,] Ἀμοῦν, Ιο, ὁ ἔχων τὴν ἄψευσ[τον ἀλήθειαν· οὐ κατισχύσονταί] μου πολλαὶ σάρκες κινούμεν[αι, οὐκ ἀντιτάξεταί] μοι πᾶν πνεῦμα, πᾶν συνάντημα, [πᾶν δαιμόνιον, πᾶν πονηρόν,] τὸ δὲ ὄνομά σου ἔξω ἓν φυλακτ[ήριον ἐν καρδία τῇ ἐμῇ] φιριμνουν [ἀ]νοχ σολβαϊ σαναχεσρω .. αρχην σε κοπω κ .. οαι[ . ] νουσι ν[ουσι, σιεθω σ]ιεθ[ω] βενου[αι ... ] [‘Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα] φύγωμεν‘. [25]

22a Ἄλλο αἵμαρ 〈ρ〉 οἶκόν · ‘μῆνιν Ἀπόλλων[ο]ς ἑκ[ατ]ηβελέτα 〈ο〉 ἄνακτ[ο]σ‘. εἰς αἷμα λ[ε]γόμενος αἵμαρ 〈ρ〉 οἷαν ἰᾶται. τοῦ δὲ ἀπαλλαγέντος καὶ ἀχαριστήσαντο[ς] λαβὲ πύραυνον, βαλοῦ καὶ θὲς ὑπὲρ [κ]απν[ὸ]ν τὰ περιάμματα, πρόσβαλε ῥίζαν, καὶ πρόσγρ(αφε) τοῦτο 〈ν〉 τὸν στίχον· ‘τοὔνεκ’ ἄ[ρ]’ ἄλγε’ ἔδωκεν ἑκηβόλος [ἠ]δ’ ἔτι δώσει‘. Γράφε 〈πρὸσ〉 μαζῶν καὶ μήτρας πόνον · [‘θρέψε] Δι[ὸς θ]υγάτηρ, τέκε δὲ ζείδωρος ἄ[ρ]ουρα.‘ [ Σὺν μαγνήτ ῳ] λίθῳ φορούμενος ἢ καὶ λεγό[μενος] [ποιεῖ ἀσύλλη]μπ[το]ν· ‘αἴθ’ ὄφελες ἄγονός [τ’ ἔμεναι ἄγαμ]ός τ’ ἀπολέσθαι‘. γρ(άψας) εἰς καινὴ[ν] [χάρτην περί]βαλε ἡμιόνου τρίχας [ Ἐλεφαντιῶντι γράφε τοῦτον τὸν] στίχον καὶ δὸς [φορεῖν]· ‘ὡς δ’ ὅτε τις ἐλέφ]αντα γυνὴ φοίνικι μιήνῃ‘. Χαῖρ ε , Ἥλι ε , χαῖρ[ε, Ἥ]λιε, χαῖρε, ἐπ’ οὐρανῶν θεέ, τὸ ὄνομά σου π[αν]τ[ο]κράτωρος· [ἀ]πὸ τοῦ ἑβδόμου οὐρανοῦ δ[ός] μοι χάριν στ[άσιμ]ον πρὸς πᾶσαν ἀνθρωπίνην γε[ν]ε[ὰ]ν καὶ πάσας γυναῖκας, μάλιστα πρὸς τὴν δεῖνα. ποίη[σόν] με καλὸν παρ’ αὐτῇ γενέσθαι ὡς Ἰάω, πλούσιον ὡς Σαβαώθ, φιληθῆναι ὡς Λαϊλάμ, μέγαν ὡς Βάρβαραν, ἔντιμος ὡς Μιχαήλ, ἔνδοξος ὡς Γαβριήλ, καὶ χαριτώσο[μαι.] I. [25]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

22b Προσευχὴ Ἰακώ β . ‘ πάτερ πατριά [ ρ χ ]ω ν , πατὴρ ὅλω [ν , πατ ὴ ]ρ δυνάμε [ ων τοῦ κ ό ]σμ [ ο υ] , κτ [ί ]στ [ α πα ν ]τὸ [ ς ... , ] κτίστα τῶν ἀγγέλων καὶ ἀρχαγγ [έ ]λ [ ω ν] , ὁ κ [τ ]ίστης ὀνομ [ άτω ν ] σω [ τηρικῶν, ] καλῶ σ ε , πατέρα τῶν ὅλων δυνάμε [ω ] ν , πατέρα τοῦ [ ὄ́ντ α ]ντος [ κ ό ]σ [μ ]ου [ καὶ τῆ ς ] ὅλης γενέσεως καὶ οἰκουμένης καὶ ἀοικήτο [υ , ᾧ ὑ π ]εστ [α ]λ [ μέ ν ]ο [ ι ο ἱ ] χ [ ερουβί ν , ὃ ς ] ἐχαρίσατο [ Ἀβ ρ ]αὰμ ἐν τῷ [ δοῦναι τὴ ν ] βασιλ [ είαν αὐτῷ [ 1 6] · ἐπάκου [ σ ό ]ν μο ι , ὁ θεὸς τ [ ῶν δ ]υνάμεω ν , ὁ θ [ εὸς ἀγ γ ]έλων κ [ αὶ ἀ ]ρ [ χ α ]γγέλω ν , βα [ σιλεύς ... ] λελεα χ ’ .... . αρωαχ · το υ . . α χ ’ αβολ [ . ] ω ..... . [ υ ρ ]α μ ’ το υ .... . βοαχ κα [ 1 0 ] θ [ . ] ρ ·α [7 ] χαχ · μαριρο [κ ... ] υρα μ ’ [9 ] ιθθ [7 ] σεσοι κ .... . ὁ κ [α ]θ [ ήμενο ς ] ἐπὶ ὄρους ἱ [ εροῦ Σ ]ιναΐου [9 ] ι [ . ]βο [ 6 ] αθεμ [ 1 0 ] [ὁ ] καθήμενος ἐπὶ τῆς θα [ λάσ σ ]ης [ . ]ε α ’ .. . βλ [6 ] δ [ . ]κ [8 ] ε [ . ]θης [9 ] παραχθη [ . ] . ὁ καθήμενο [ ς ἐπ ὶ ] τῶν δ [ ρ α ]κοντ [ είω ν ] θεῶ ν , ὁ [ θεὸς ὁ καθήμ ε ]ν [ο ]ς [ ἐπὶ το ῦ ] [Ἡ ]λίου Ἰά ω , ὁ καθήμε [ νος ἐπ ὶ ..... ] τα [ . ]ω [ . ] ι .. . χ , ὁ [ καθή μ ]εν [ ος ἐ ]πὶ το [ῦ .. ]θε [ .... ] . . μα . . σι Ἀβριήλ · Λουήλ · [ ..... ]μ [ . . τ ]ὸν [κ ]οιτῶνα χε [ ρ ο ]υ [β ]ὶ [ ν .... ] χιρε .. . οζ [7 ] ι [ . ] ε [ἰ ]ς τοὺς αἰῶνας τῶν αἰώ [ ν ω ]ν θεὸς Ἀβαώ θ , Ἀβραθιαώ θ , [ Σ α ]βα [ ώ θ , Ἀ ]δωνά ι , ἀστρ α .... . ε [κ ]αὶ βριλεωναι [Ἀ ]δονάι , χα .. . αώ θ , ὁ κ [ ύ ρ ]ιος τῶν ὅλων · ἐπικαλοῦμαί σ ε , ἐ [ πὶ χ ]άσ [ ματος δόντ α ] δύναμιν 〈τοῖσ〉 ἄνω καὶ τοῖς κάτω καὶ τοῖς ὑποκάτω τῆς γῆς · ἐπάκουσον τῷ [ ἔχ ο ]ντι [ τὴ ν ] εὐχή ν , ὁ κύριος θεὸς τῶν Ἑβραίω ν , Ἐπα [γ ]αήλ αλαμ ν , οὗ [ἡ ] ἀέναος δύναμι ς , [ Ἐλ ω ]ή λ , Σουήλ · διόρθωσον τὸν ἔχοντα [ τ ὴ ]ν εὐχὴν [ἐ ]κ τοῦ γένου [ς ] Ἰσραὴλ [κ ]αὶ τῶν χαριζομένων ὑπό σο υ , θεὲ θεῶ ν , ὁ ἔχων τὸ κρυπτὸν ὄνομα Σαβαώ θ , [ . ]ι . . χ · θεὸς θεῶ ν , ἀμή ν , ἀμή ν , [ὁ ] χιόνα γεννῶ ν , ἐπὶ ἀστέρων ὑπ [ὲ ]ρ αἰώνων κ ( α ὶ ) ἀεὶ διοδεύ [ω ]ν [ κ ( α ὶ ) ποιῶ ν ] τοὺς ἀπλανεῖς καὶ πλανωμένους ἀ [ σ τ ]έρας διώκειν τὰ πάντα τῇ σῇ δημιουργίᾳ · πλήρωσόν με σοφία ς , δυνάμωσ [ό ]ν μ ε , δέσποτ α , μέστωσόν μου [ τὴ ν ] καρδίαν ἀγαθῶ ν , δέσποτ α , ὡς ἄγγελον ἐπ [ ί γ ]ειο ν , ὡς ἀθάνατον [ γ ε ]νάμενο ν , ὡς τὸ δῶρον τὸ ἀπὸ [ σ ο ]ῦ δεξάμε [ νο ν , ἀ ]μή ν , ἀμήν ‘ . [λ ]έγε ἑπτάκις πρὸς ἄρκ [ το ν ] καὶ ἀ [ π η ]λιώτην [ τὴν πρ ο ]σε [υ ]χ [ὴ ]ν τ [ ο ῦ ] Ἰακώ β . I I . Ὀνειραιτητὸν ἐς λύχν[ο]ν. ἅγνευσ[ο]ν εἰς τὸν κα[θ]ημερινόν σου λύχνον καὶ λ[έ]γε πρὸς τὸν λύχνον, ἕως σβεσθῇ· ‘ὑγίαινε, λύχν[ε], παραφα[ί]νων τῷ [Ἀρ]σεντεφθα καὶ τῷ Ἁρσεντεχθα καὶ τῷ μεγάλῳ [πα]τρ[ὶ] Ὀσίριδι Μιχαήλ. [εἰ] γείνεται πρὸς ἐξαίτησιν καλόν, [δ]εῖξ[όν] μοι ὕδωρ [καὶ] ἴ[δ]αν, ε[ἰ] δὲ ἄλλως, δ[ε]ῖξόν [μ]οι ὕδωρ καὶ πέτραν.‘ Ἄλλο ὀνειραιτητό ν . [λα]βών σου τὸν ἔσχατον ψωμὸν δ[είκ]ν[υε τῷ] λύχνῳ καὶ δεικνύων λέγε καὶ εἴπας διαμάσ[η]σαι καὶ πίε ἐπάνω οἶνον καὶ κοιμῶ μη[δε]νὶ λαλήσας. τοῦτο δὲ ἐὰν [πραχ]θῇ, ἔπ[ευθυ θ]εωρήσεις τινά σοι λαλοῦντα οι .. αλ [7] οσμω[ . ]πρα, ἐγώ ε[ἰμι] Λαμψυς. εἰ δέδοταί μοι τόδε τὸ π[ρᾶγ]μα, δεῖξ[ον] ἑταῖραν, εἰ δ’ αὖ, σ[τ]ρατιώτην. [‘Κλῦθί] μοι, εὐμειδὴς καὶ ἐπίσκοπος, εὔσπο[ρ’ Ἄν]ουβι, [κλῦθί τε, αἰ]μύλε, 〈κρ〉 υπτὲ πάρευνε, σαῶτι Ὀσί[ρεω]ς, [δεῦρ’, Ἑρ]μῆ, ἅρπαξ, δεῦρ’, ε[ὐ]πλόκαμε, χθόνιε Ζεῦ, [κῦρσα]ι δωσάμενοι κρηήνατε τήνδ’ ἐπαοιδήν.

23 [δεῦρ’, Ἅιδ]η καὶ Χθών, πῦρ ἄφθιτον, Ἥλιε Τιτάν, [ἐλθὲ καὶ] Ἰάα καὶ Φθᾶ καὶ Φρῆ νομοσώσω[ν,] [καὶ Νεφ]θὼ πολύτιμε καὶ Ἀβλαναθὼ πολύολβε, [πυρσ]οδρακοντόζων’, ἐρυσίχθων, αἰπυκαρείη, [Ἀβραξ]ᾶ, περίβωτε τὸ κοσμικὸν οὔνομα δαίμων, [ἄξονα] καὶ χορίον καὶ φῶτα νέμων παγέρ’ Ἄρκτων, [ἐλθὲ κ]αὶ ἐνκρατείᾳ πάντων προφερέστερ’ ἐμοί, Φρήν, [σὲ κα]λέω, Β 〈ρ〉 ι 〈αρ〉 εῦ, καὶ Φ 〈ρ〉 άσιε, καὶ ς’ Ἰξίων, [καὶ Γε]νεὰ καὶ Ἀφηβιοτὰ καὶ Πῦρ καλλιαιθές, [ἠδ’ ἔλθοι]ς, Χθονία καὶ Οὐρανία, καὶ ὀνείρω[ν] [ἢ μεδέει]ς, καὶ Σείρι’, ὃς [ ].‘ Μεγάλη Ἶσις ἡ κυρί α .

24a ἀντίγραφον ἱερᾶς βίβλου τῆς εὑρεθείσης ἐν τοῖς τοῦ Ἑρμοῦ ταμίοις. ὁ δὲ τρόπος ἐστὶν τὰ περὶ τὰ γράμματα κθ′, δι’ ὧν ὁ Ἑρμῆς καὶ ἡ Ἶσις ζητοῦσα ἑαυτῆς τὸν ἀδελφὸν καὶ ἄνδρα Ὄσιριν 〈ἐξεῦρεν〉 . ἐπικαλοῦ μὲ 〈ν〉 τὸν Ἥλιον καὶ τοὺς ἐν βυθῷ θεοὺς πάντας, περὶ ὧν θέλεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κληδονισθῆναι, 〈καὶ〉 λαβὼν φοίνικος ἄρσενος φύλλα κθʹ ἐπίγραψον ἐν ἑκάστῳ τῶν φύλλων τὰ τῶν θεῶν ὀνόματα καὶ ἐπευξάμενος αἷρε κατὰ δύο δύο. τὸ δὲ ὑπολιπόμενον ἔσχατον ἀνάγνωθι, καὶ εὑρήσεις σου τὴν κληδόνα, ἐν οἷς μέτεστιν, καὶ χρηματισθήσῃ τηλαυγῶς. εἰς τὸν δεξ[ιὸ]ν [] [] εἰς τὰ ἀριστερὰ τοῦ [τραχήλου·] []ἐπὶ τὸν δεξιὸν ὦ[μον·] []ἐπὶ τὸ [ἄ]κρον τοῦ [δεξιοῦ μαστοῦ·] [] ἐπὶ τ[ὸ]ν ἀριστερὸ[ν ὦμον·] []λήμψεται[] [] ἐπὶ τὸ ἄκρον το[ῦ ἀριστεροῦ μαστοῦ·] [] ἐπὶ τὸ στῆθος π[] [ ] ηση γὰρ τὸν μ[] [λα]βοῦσαν, μεγάλα[] [] καὶ ἔξω φεύγῃ[] []εται ἡ γυνή, ἐλε[] [ἄ]νθρωποι ἐπὶ του[] []α φάρμα[κ]α κατ[] []ικαν καθευδο[] Ἅγιος κύριος Ζαβαώτ.

26 οβʹ εἰ λήμψομαι τὸ ὀψώνιον; ογʹ εἰ μενῶ, ὅπου ὑπάγω; οδʹ εἰ πωλοῦμαι; οεʹ εἰ ἔχω ὠφέλιαν ἀπὸ τοῦ φίλου; οϛʹ εἰ δέδοταί μοι ἑτέρῳ συναλλάξαι; οζʹ εἰ καταλλάσσομαι εἰς τὸν γόνον; οηʹ εἰ λαμβάνω κομιᾶτον; οθʹ εἰ λήμψομαι τὸ ἀργύριον; πʹ εἰ ζῇ ὁ ἀπόδημος; παʹ εἰ κερδαίνω ἀπὸ τοῦ πράγματ[ος;] πβʹ εἰ προγράφεται τὰ ἐμά; πγʹ εἰ εὑρήσω πωλῆσαι; πδʹ εἰ δύναμαι, ὃ ἐνθυμοῦμαι, ἆρα[ι;] πεʹ εἰ γίνομαι βιόπρατος; πϛʹ εἰ φυγαδεύσομαι; πζʹ εἰ πρεσβεύσω; πηʹ εἰ γίνομαι βουλευτής; πθʹ εἰ λύεταί μου ὁ δρασμός; ϙʹ εἰ ἀπαλλάσσομαι τῆς γυναικό[ς;] ϙαʹ εἰ πεφαρμάκωμαι; ϙβʹ εἰ λαμβάνω [τ]ὸ ἴδ[ιο]ν; [ϙγʹ] εἰ] ................ Νεικητικὸν Σαραπάμμωνει, υἱῷ Ἀπολλωνείου δὸς νείκην, ὁλοκληρίαν σ〈τ〉αδίου καὶ ὄχλου τῷ προκειμένῳ Σαραπάμμωνι.

27 ἐξ ὀνόματος Συλικυς ἢ Σου[] Ορ ορ φορ φορ Σαβ[α]ώθ, Ἀδωνέ, Σαλαμα, Ταρχει, Ἀβρα〈σ〉άξ· δέννω σέ, σκορπίε Ἀρτεμισίας, τριακόσια δεκάπεντε.

28a Παχων πεντεκαιδεκάτῃ ...... Ὡρ Ὡρ φωρ φωρ Ἰάω, Ἀδωναεί, Σαβ[α]ώθ, Σαλαμαν, Ταρχχει· δέννεω σαί, σκορπίε Ἀρτεμίσου, ιγʹ.

28c Ὡρ Ὡρ [φ]ωρ φωρ [Ἀδωναί,] [ Σαλα]μα ρθαχι· [δ]έννο σε, [σ]κ[ο]ρπίε Ἀρτημίσιε. Φαμενωθ τέσσαρο, φωρ ορ ορ οσοα δδδ ρρρ. Ῥοθίοις ἐκέλευον ἀνέμοις καὶ μέρεσι σοῖς πελαγίοις, ὅτε πλέειν ἤθελον ἐγώ.

29 ὅτε μένειν ἤθελον ἐκεῖ, ἔλεγον μέρεσιν πελαγίοις· ‘μὴ τύπη〈τε〉 τὰ πελάγη, ἄλ’ ὑποτάξατε ναυβάταις.‘ ὅλος ἄρ’ ἄνεμος ἐπείγεται· ἀπέκλειε〈ν〉 τὰ πνεύματα. καὶ, ’ν[α]ξ, δὸς τὰ [ἄβ]ατα εὔβατα. Σοκωννωκοννῖ, θεῷ με〈γα〉λο μεγάλῳ· χρημάτισόν μοι, ἦ μείνῳ ἐν Βακχιάδι; ἦ μέλ〈λ〉ω ἐντυνχάνιν; τούτῳ ἐμοὶ χρημάτισον.

30b Τῷ μεγίστῳ κραταιῷ θεῷ Σοκνοπαί[ῳ] παρὰ Ἀσκληπιάδου τοῦ Ἀρείου· εἶ οὐ [δί-] δοταί μοι συμβιῶσαι Ταπεθεῦ[τι] Μαρρείους, οὐδ’ οὐ μὴ γένηται ἄ[λλου] γυνή; ὑπόδειξόν μοι κα[ὶ] κύρωσ[όν] μοι τοῦτο τὸ γραπτόν. πρόην δ’ [ἦν ἡ] Ταπεθεῦς Ὡρίωνος γυνή. (ἔτους) λεʹ Καίσαρος, Παχω〈ν〉 αʹ. Σοκνοπαίῳ καὶ Σοκονπιεῖος, θεοὶ μεγάλοι μεγάλο[ι,] παρὰ Στοτοῆτις τοῦ Ἀπύνχεος, τοῦ Τεσενοῦφις· ἦ μὲν σοθήσῳ ταύτης ἧς ἐν ἐμοὶ ἀσθενία[ς;] τοῦτόν μοι ἐξένικον.

30d Θεῶν μεγάλων μεγάλων Σοκνοπαίῳ καὶ Σοκονουπις· εἶ δέδε[κται σ]υνβαλῖν περὶ γυναιγοῦ; τ[οῦτό] μοι φέρε. Κυρίῳ Σοκνοπαίῳ, θεῷ μεγάλῳ, καὶ Ἄμμωνι, θεοῖς μεγίστοις· ἀξιοῖ Σώτας, εἰ οὐ μέλλι ὁ νομάρχης ἐναυτοῦ ἀγανακτῖ ἢ ἐξετάζι τὰ κατ’ ἐμέ, ὅτι τὰ πιττάκια Οὐαλερίου ἐγὼ γράφω.

30e τοῦτώ μοι δός. Κυρίῳ Σοκνοπ(αίῳ) καὶ Ἄμμωνι, θεοῖς μεγάλοις· χρημάτισον Ζωιλᾶτι, εἰ μεθίστατε ὁ κωμογρ(αμματεὺς) τῆς Βουβασα ἐκ τῆς ἐπιστολῆς.

30f τοῦτό μοι δός. Κύριοι Διόσκουροι· ἦ κρείνεται αὐτὸν ἀπελθεῖν ἰς πόλιν; τοῦτο ἐκξένειγκον καὶ συμφονησάτο πρὸς τὸν ἀδελφόν σου.

31b

Κύριέ μου, Σαρᾶπι Ἥλιε, εὐεργέτα· εἶ βέλτειόν ἐστιν Φανίαν, τὸν υἱόν μου, καὶ τὴν γυναῖκα αὐτοῦ μὴ συμφωνῆσαι νῦν τῷ πατρὶ αὐτοῦ, ἀλλὰ ἀντιλέγειν καὶ μὴ διδόναι γράμματα; τοῦτό μοι σύμφωνον ἔνενκε. ἔρρωσο. Διὶ Ἡλίῳ, μεγάλῳ Σεράπιδι, καὶ τοῖς συννάοις.

31c ἐρωτᾷ Νίκη· εἶ συμφέρει μοι ἀγοράσαι παρὰ Τασαραπίωνος, ὃν ἔχει δοῦλον Σαραπίωνα τὸν καὶ Γαΐωνα; [τοῦτό μ]οι δός. Ἐξορκείζ[ω] σε, Εὐάγγελε, κατὰ τοῦ Ἀνούβι[δο]ς καὶ τοῦ Ἑρμοῦ καὶ [τ]ῶν λοι[πῶν] πάντων κάτω, ἄξαι καὶ καταδῆσαι Σαραπιάδα, ἣν ἔτεκεν Ἑλένη, ἐπ' αὐτὴν Ἡραείδαν, ἣν ἔτεκεν Θερμουθαριν, ἄρτι, ἄρτι, ταχὺ ταχύ.

32 ἐξ ψυχῆς καὶ καρδίας ἄγε αὐτὴν τὴν Σαραπιάδ[α], ἣν ἔτεκεν 〈Ἑλένη〉 εἰδίᾳ μήτρᾳ, μαει οτε ελβωσατοκ αλαουβητω ωειο[] . αηη, ἄξον καὶ κα[τάδησ-] ον ψυχὴ[ν καὶ καρδίαν Σαραπιάδο-] ς, ἣν ἔτεκεν [Ἑλένη, ἐπ' αὐ-] τὴν Ἡραεί[δαν, ἣν ἔτεκε-] ν Θερμουθα[ριν μήτ-] [ρᾳ] αὐτῆς, [ἄρτι ἄρτι, ταχὺ ταχύ]. Ὡς ὁ Τυφῶν ἀντίδικ[ός] ἐ〈σ〉τιν τοῦ Ἡλίου, οὕτως καῦσον καρδίαν καὶ ψυχὴν αὐτοῦ Ἀμωνείου, οὗ ἔτεκεν Ἑλένη, καὶ εἰδίᾳ μήτρᾳ, Ἀδωνα〈ί〉, Ἀβρασάξ, Πιν[ο]ῦτι καὶ Σαβαώς, καῦσον ψυχὴν καὶ καρδίαν αὐτοῦ Ἀμωνείου, οὗ ἔτεκεν Ἑλέν〈η〉, ἐπ' αὐτὸν Σεραπιακόν, ὃν ἔτεκεν Θρέπτη, ἄρτ[ι, ἄ]ρτι, ταχὺ ταχύ.

32a τῇ α[ὐ]τῇ ὥρᾳ καὶ τῇ αὐτῇ ἡμέρᾳ, ἐξ αὐτῆς συνκατάμειξον τὰς ψυχὰς ἀνφοτέρων καὶ ποίησον αὐτὸν τὸν Ἀμώνειον, ὃν ἔτεκεν Ἑλένη, αὐτὸν Σεραπιακόν, ὃν ἔτεκεν Θρέπτη, πᾶσαν ὥραν καὶ πᾶσαν ἡμέραν καὶ πᾶσαν νύκτα· διό, Ἀδωναί, ὕψιστε θεῶν, οὗ ἐ〈σ〉τιν τὸ ὄνομα τὸ ἀληθινόν, δίωκε, Ἀδωναί. αβλαναθαναβλαναμαχαραμαραχαραμαρα [χ ] βλαναθαναβλαναμαχαραμαραχαραμαρα λαναθαναβλαναμαχαραμαραχαραμαρ μαχα αχ α ἀκάμ[ατ]ε Κοκ/ Κουκ/ Κουλ/, παῦ[σο]ν τὴν Ταΐδα ἀπὸ παντὸς ῥίγους, ἣν ἔτεκεν Ταρ[αυς, ἢ] τριταίου ἢ τεταρταίου ἢ καθημερινοῦ ἢ παρημερινοῦ ἢ νυκτοπυρετ[ο]ῦ 〈ἢ λεπτοπυρετοῦ〉, ὅ τι ἐγώ εἰμι ὁ πατρο[παράδοτος θεός, ἀκάματος Κο]κ/ Κ[ο]υκ/ Κου[λ/ ] [ἤδη ἤδη, ταχὺ ταχύ].

